UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

# Homeri Ilias

## Homerus

## Lipsiae, 1876

13. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

# ΙΛΙΑΔΟϹ Ν.

Ζεὺϲ δ' ἐπεὶ οὖν Τρῶάϲ τε καὶ Ἕκτορα νηυϲὶ πέλαϲϲε,
τοὺϲ μὲν ἔα παρὰ τῇϲι πόνον τ' ἐχέμεν καὶ ὀιζὺν
νωλεμέωϲ, αὐτὸϲ δὲ πάλιν τρέπεν ὄϲϲε φαεινώ,
νόϲφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενοϲ αἶαν
Μυϲῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
ἐϲ Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄϲϲε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ' ἢ Τρώεϲϲιν ἀρηξέμεν ἢ Δαναοῖϲιν.
οὐδ' ἀλαὸϲ ϲκοπιὴν εἶχε κρείων ἐνοϲίχθων·
καὶ γὰρ ὃ θαυμάζων ἧϲτο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτηϲ κορυφῆϲ Cάμου ὑληέϲϲηϲ

---

Varia lectio. 1 δ' om. E. τρῶιαϲ CL. τε om. G Barocc. πέλαϲϲε ACDEG: πέλαϲϲεν HL. πέλαϲε Lips. πέλαϲεν Flor. — 2 παρα A. — 3 τρέπε D. τρέψεν S. τράπεν Bachm. Anecd. II, 141, 7. φαεινῶι L. — 4 ἱπποπόλων AC. ἱππώλων G. καθόρώμενοϲ A. — 5 ἀγχϊμάχων H ex corr. Vrat. A. — 6 γλακτοφάγων A. γαλακτοφάγων L Lips. Barocc. τ' ἀβίων τε D. τὲ H. — 7 ἔτι om. D. 1. man. Lips. τράπεν G. φαεινῶι L. — 8 τινὰ ἔλπετο E Barocc. κατα A. — 9 τρώιεϲϲιν CL. ἀρηξέμεν AGH Harl. Lips.: ἀρηγέμεν CDLS. ἀρήξειν E suo more. γρ. καὶ ἀρήξειν A. — 10 ἀλαὸϲ ϲκοπιὴν A: vulgo ἀλαοϲκοπιὴν. ἀλαοϲκοπῒὴν C. εἶχεν L. — 11 ὃ ACDGHL Apoll. Soph. 86, 16. πόλεμόν EGL Cram. Ep. 204, 31.

---

Adnotatio critica. 2 παρὰ: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ περὶ τῇϲι· μήποτ' οὖν διχῶϲ Didymus. τινὲϲ πρὸϲ τῇϲι Schol. V. ἐχέμεν: Ζηνόδοτοϲ δὲ ὀχέμεν Sch. V. — 5 Μυϲῶν: Μοιϲῶν Posidonius apud Strab. VIII, 296. ἀγαυῶν: alii Ἀγαυῶν teste Apoll. Soph. 3, 23; cf. Hesych. I, 15. — 6 Ἀβίων Aristarchus: alii ἀβίων cf. Apoll. Soph. 3, 17 et ἀβιῶν ibid. 3, 30. ἀρίϲταρχοϲ χωρὶϲ τοῦ τε̄ δικαιοτάτων ἀνθρώπων Didymus. alii δικαιοτάτων τ' ἀνθρώπων cf. Apoll. Soph. l. l. Et. Mg. 232, 48. Nicol. Damasc. apud Stob. Floril. V, 73. — 8 ἀριϲτοφάνηϲ διὰ τοῦ ε̄ οὐ γὰρ ἔτ' ἀθανάτων Didymus (an alii ὅ τ' pro ὅ γ'?). — 10 ἀλαὸϲ ϲκοπιὴν: Zenodotus ἀλαὸν ϲκοπιὴν, vid. K 515. — 12 ἀκροτάτηϲ κορυφῆϲ: ἀκροτάτηϲ κορυφῆϲ Aristophanes. Cάμου Aristarchus: alii Cάου teste Didymo.

Θρηικίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης,
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου·
βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διίστατο. τοὶ δὲ πέτοντο
ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐύσκαρθμοι φέρον ἵπποι.
ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,

V. l. 13 ἔνθεν μὲν G Barocc. ἐφαίνετο: φαίνετο L. — 15 ἄρ D. ἆρ G. — 16 τρωσὶ DG Townl. τρωισὶν C. τρῳσὶ δαμνηζομένους L. — 17 κατεβήσετο CDEHL Cant. Vrat. b. Lips. Flor.: κατεβήσατο G. κατεβήσετο (α) A. — 18 post hunc Rhet. Gr. I, 255, 11 add. καὶ κορυφαὶ παιπαλοέσσης L. — Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν, qui legitur Υ 60. — 19 ποσιδάωνος A. — 20 τέταρτον C 1. man. DG Flor. Lips. Vrat. A. — 21 ἔνθα δέ ACDEGHLS et Heynii libri. ἔνθα τέ Strabo VIII, 386. — 23 ὑπόχεσφι D. ἵππωι L. — 24 ὠκυπέται L. ὠκυπέτας E. χρυσέοισιν G. ἐθείρῃσι D Lips. Vrat. A. κομόωντας Eust. 918, 12. — 25 ἔνδυνε H Vrat. A. περι A. — 26 εὔτυκτον omnes praeter Rom. ἐπεβήσατο G. — 27 ἐλάᾳν G. ἐπι A. ἄταλλεν κήτε' L. αὐτοῦ ACDGHLS Cant. Mor. Harl. Lips. Townl. Vrat. Schol. Ξ 296: αὐτῷ E Flor. Rom. Max. Tyr. Diss. XXXII, 7. ἐν ἄλλῳ ὑπαυτῶ A. — 28 κευθμῶνος L. ἠγνοίησεν CDEHL Rhet. Graec. I, 255, 14. ἠγνοίησαν G. ἠγνοίησεν (α) A. — 29 γηθοσύνῃ AEG Vrat. A ex corr. Rhet. Gr. II, 361, 12. Eust. 993, 19: γηθοσύνη CDHL Vrat. A 1. man. Apoll. Soph. 54, 27. δὲ πέτοντο Rhet. Gr. I, 255, 14: libri δ' ἐπέτοντο. — 30 ὕπερθεν D. — 31 τῶν δ' D. ἐΰσκαρθμοι A.

A. c. 21 δέ: recentiores τέ ex coni. G. Hermanni ad Hymn. in Ven. 59; sed conf. Ζ 245. 249. Θ 48. θ 363. — 28 ἀρίσταρχος ἠγνοίησαν, ἄλλοι δὲ ἠγνοίησεν Didymus. — 29 γηθοσύνῃ: ὅτι χωρὶς τοῦ ι γραπτέον τὸ γηθοσύνη· ἐστὶ γὰρ ἀρσενικὸν γηθόσυνος Aristonicus. γηθοσύνῃ Aristophanes et Herodianus. γηθόσυν' ἡ δὲ Herodicus.

μεϲϲηγὺϲ Τενέδοιο καὶ Ἴμβρου παιπαλοέϲϲηϲ·
ἔνθ' ἵππουϲ ἔϲτηϲε Ποϲειδάων ἐνοϲίχθων
λύϲαϲ ἐξ ὀχέων, παρὰ δ' ἀμβρόϲιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποϲϲὶ πέδαϲ ἔβαλε χρυϲείαϲ,
ἀῤῥήκτουϲ ἀλύτουϲ, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
νοϲτήϲαντα ἄνακτα· ὃ δ' ἐϲ ϲτρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶεϲ δὲ φλογὶ ἶϲοι ἀολλέεϲ ἠὲ θυέλλῃ
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτεϲ ἕποντο,
ἄβρομοι αὐίαχοι· ἔλποντο δὲ νῆαϲ Ἀχαιῶν
αἱρήϲειν, κτενέειν δὲ παρ' αὐτόφι πάνταϲ ἀρίϲτουϲ.
ἀλλὰ Ποϲειδάων γαιήοχοϲ ἐννοϲίγαιοϲ
Ἀργείουϲ ὤτρυνε βαθείηϲ ἐξ ἁλὸϲ ἐλθών,
εἰϲάμενοϲ Κάλχαντι δέμαϲ καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προϲέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, ϲφὼ μέν τε ϲαώϲετε λαὸν Ἀχαιῶν
ἀλκῆϲ μνηϲαμένω, μὴ δὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἐγώ γ' οὐ δείδια χεῖραϲ ἀάπτουϲ
Τρώων, οἳ μέγα τεῖχοϲ ὑπερκατέβηϲαν ὁμίλῳ·
ἕξουϲιν γὰρ πάνταϲ ἐυκνήμιδεϲ Ἀχαιοί·
τῇ δὲ δὴ αἰνότατον περιδείδια, μή τι πάθωμεν,
ᾗ ῥ' ὅ γ' ὁ λυϲϲώδηϲ φλογὶ εἴκελοϲ ἡγεμονεύει,
Ἕκτωρ, ὃϲ Διὸϲ εὔχετ' ἐριϲθενέοϲ πάιϲ εἶναι.
ϲφῶιν δ' ὧδε θεῶν τιϲ ἐνὶ φρεϲὶ ποιήϲειεν,

V. l. 33 καὶ Ἴμβρου: Ϲάμοιό τε Schol. B 634. — 34 ποϲιδάων A. — 35 ἐξοχέων D. παρα CL. — 36 ἔβαλλε C. — 37 ἀρήκτουϲ Lips — 38 ὃ δ' D. ὅδ' CGL. — 39 τρῶιεϲ CL. ἴϲοι D. ἠὲ: ἠδὲ GL Mor. Barocc. Vrat. b. d. — 41 αὐΐαχοι A. ἔλπονται Apoll. Soph. 3, 6. — 42 παραυτόφι D. παρ' αὐτόθι C Flor. παραυτόθι Harl. Lips. Vrat. b. d. A. ΑΥΤΟΘΙ Pap. cf. H. T. 449. ἀχαιούϲ ADEL: ἀρίϲτουϲ CGH Vrat. d. Harl. γρ. ἀρίϲτουϲ A. — 43 ποϲιδάων A. ἐννοϲίγαιοϲ A. — 47 ϲφῶι G. μέν τε: μέν κε DH Apoll. Soph. 147, 13 (et ϲαώϲεται). ϲαώϲατε Lips. ϲαώϲετον D. — 48 μνηϲάμενοι E bis. μὴ δὲ ACDGHL: vulgo μηδὲ cum E. — 49 ἔγωγ' libri. — 50 τρώιων CL. ὑπὲρ κατέβηϲαν Vrat. b. — 51 ἔξουϲι DEGH Lips. Vrat. A. πάνταϲ ACGHL Cant. Barocc. Lips. Vrat. d. πάντεϲ DS Townl.: vulgo ἅπανταϲ cum E. εὐκνήμιδεϲ DEG. — 52 τῆδε CH. τῆδε G. περὶ δείδια A. — 53 ὅγ' (δ) A. ὅδ' ὀλυϲϲώδηϲ L. εἴκελοϲ C. ἴκελοϲ ES Vrat. A. ἵκελοϲ G. — 55 τιϲ θεῶν ἐνι D.

A. c. 41 αὐίαχοι: αὐίαχοι Dionysius Thrax et Chrysippus Stoicus, conf. Herod. ad Λ 461. N 441. Ψ 327. — 51 ἕξουϲιν: ϲχήϲουϲιν Aristophanes.

αὐτώ θ' ἑϲτάμεναι κρατερῶϲ καὶ ἀνωγέμεν ἄλλουϲ·
τῶ κε καὶ ἐϲϲύμενόν περ ἐρωήϲαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιοϲ αὐτὸϲ ἐγείρει.
ἦ, καὶ ϲκηπανίῳ γαιήοχοϲ ἐννοϲίγαιοϲ
ἀμφοτέρω κεκοπὼϲ πλῆϲεν μένεοϲ κρατεροῖο,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδαϲ καὶ χεῖραϲ ὕπερθεν.
αὐτὸϲ δ' ὥϲ τ' ἴρηξ ὠκύπτεροϲ ὦρτο πέτεϲθαι,
ὅϲ ῥά τ' ἀπ' αἰγίλιποϲ πέτρηϲ περιμήκεοϲ ἀρθεὶϲ
ὁρμήϲῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο,
ὣϲ ἀπὸ τῶν ἤϊξε Ποϲειδάων ἐνοϲίχθων.
τοῖιν δ' ἔγνω πρόϲθεν Ὀιλῆοϲ ταχὺϲ Αἴαϲ,
αἶψα δ' ἄρ' Αἴαντα προϲέφη Τελαμώνιον υἱόν·
Αἶαν, ἐπεί τιϲ νῶι θεῶν, οἳ Ὄλυμπον ἔχουϲι,
μάντεϊ εἰδόμενοϲ κέλεται παρὰ νηυϲὶ μάχεϲθαι·
οὐδ' ὅ γε Κάλχαϲ ἐϲτί, θεοπρόποϲ οἰωνιϲτήϲ·
ἴχνια γὰρ μετόπιϲθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντοϲ· ἀρίγνωτοι δὲ θεοί περ.
καὶ δ' ἐμοὶ αὐτῷ θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲι
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεϲθαι,
μαιμώωϲι δ' ἔνερθε πόδεϲ καὶ χεῖρεϲ ὕπερθε.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη Τελαμώνιοϲ Αἴαϲ·
οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρεϲ ἄαπτοι
μαιμῶϲιν, καί μοι μένοϲ ὤρορε, νέρθε δὲ ποϲϲὶν

---

V. L. 56 αὐτῶ D. — 57 τῶ ACDGHL: vulgo τῷ. ἐρωήϲετ' H. 1. man. Vrat. A. ἐρωήϲητ' G ex corr. — 58 εἴ κέν μιν C Vrat. b. 1. man.
κεν ηι
d. καί A. ἔγειρει A Townl. ἐγείρῃ C. — 59 ἐννοϲίγαιοϲ A. ἐνοϲίγαιοϲ G. — 60 κεκοφὼϲ S. πλῆϲε EG Lips. — 61 δὲ θῆκεν EG Mor. — 63 περιμήκεοϲ A. — 64 ὁρμήϲῃ AH Townl. Lips. Vrat. b. d.: ὁρμήϲει CDEGLS Apoll. de Synt. 289, 6. ὁρμῆϲαι Et. Mg. 631, 53. διώκειν omnes. — 65 ὡϲ AD 1. man. ποϲιδάων A. — 66 τοῖιν: τοίην D. τοῖον L p. ras. ὁ ἰλῆοϲ D. 2. man. — 67 ἀρ A. ἆρ DGL. — 68 νῶϊν L. ἔχουϲι ACDEGH: ἔχουϲιν L. — 69 μάντεϊ ACE 920, 55 G: μάντει E 920, 50 H Vrat. A. μάντϊ DL. — 70 θεοπρόποϲ A. θεοπρόπιοϲ H. — 71 γάρ: δὲ Schol. Γ 396. κνιμάων D. — 73 δ' ἐμοὶ ACEH: δέ μοι DGL. ἐνι A. φίλοιϲι ACDEGH: φίλοιϲιν L. — 74 πολεμίζειν omnes. — 75 ὕπερθε ACDGH: ὕπερθεν EL. — 77 νῦν καί: καὶ νῦν G. — 78 μαιμῶϲι DE. μαιμώωϲιν ἐμοὶ G. νέρθε ποδεϲϲιν A et in marg. νερθε δὲ ποϲϲὶν.

---

A. c. 59 διχῶϲ ἀρίϲταρχοϲ (cod. ἀριϲτοφ) καὶ κεκοφὼϲ καὶ κεκοπώϲ. ἐν δὲ τῇ χίᾳ καὶ ἀντιμάχου κεκοπών Didymus. — 61 asteriscus; οὐκ ὀρθῶϲ Ψ 772, vid. Ε 122. — 71 ἴχνια: γρ. καὶ ἴθματα. ζηνόδοτοϲ δὲ καὶ ἀριϲτοφάνηϲ ἴχματα Didymus.

ἔϲϲυμαι ἀμφοτέροιϲι· μενοινώω δὲ καὶ οἶοϲ
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεϲθαι.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον,
χάρμῃ γηθόϲυνοι, τήν ϲφιν θεὸϲ ἔμβαλε θυμῷ·
τόφρα δὲ τοὺϲ ὄπιθεν γαιήοχοϲ ὦρϲεν Ἀχαιούϲ,
οἳ παρὰ νηυϲὶ θοῇϲιν ἀνέψυχον φίλον ἦτορ.
τῶν ῥ᾽ ἅμα τ᾽ ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
καί ϲφιν ἄχοϲ κατὰ θυμὸν ἐγίγνετο δερκομένοιϲι
Τρῶαϲ, τοὶ μέγα τεῖχοϲ ὑπερκατέβηϲαν ὁμίλῳ.
τοὺϲ οἵ γ᾽ εἰϲορόωντεϲ ὑπ᾽ ὀφρύϲι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεϲθαι ὑπ᾽ ἐκ κακοῦ. ἀλλ᾽ ἐνοϲίχθων
ῥεῖα μετειϲάμενοϲ κρατερὰϲ ὤτρυνε φάλαγγαϲ.
Τεῦκρον ἔπι πρῶτον καὶ Λήιτον ἦλθε κελεύων
Πηνέλεών θ᾽ ἥρωα Θόαντά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήϲτωραϲ ἀυτῆϲ·
τοὺϲ ὅ γ᾽ ἐποτρύνων ἔπεα πτερόεντα προϲηύδα·

> αἰδὼϲ Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἐγώ γε

μαρναμένοιϲι πέποιθα ϲαωϲέμεναι νέαϲ ἁμάϲ·
εἰ δ᾽ ὑμεῖϲ πολέμοιο μεθήϲετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεϲϲι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖϲιν ὁρῶμαι,
δεινόν, ὃ οὔ ποτ᾽ ἐγώ γε τελευτήϲεϲθαι ἔφαϲκον,
Τρῶαϲ ἐφ᾽ ἡμετέραϲ ἰέναι νέαϲ, οἳ τὸ πάροϲ περ
φυζακινῇϲ ἐλάφοιϲιν ἐοίκεϲαν, αἵ τε καθ᾽ ὕλην
θώων παρδαλίων τε λύκων τ᾽ ἤια πέλονται

V. l. 79 οἶοϲ: αὐτὸϲ L. — 81 ὠϲ A. — 82 ϲφι G. — 83 ὄπιϲθεν DG. ὄπιϲθε Vrat. A. — 85 ῥ᾽ om. E. — 86 κατα A. ἐγίγνετο L: ἐγίνετο ACDEH. ἐγένετο G. δερκομένοιϲι ACDEGH: δερκομένοιϲιν L. — 87 τρῶαϲ om. L. — 88 ὀφρῦϲι D. — 89 φεύξεϲθαι ACDEL: φεύξαϲθαι GH Barocc. Vrat. b. ὑπ᾽ ἐκ ADEGHH'L: ὑπεκ C. ὑπὲκ A. — 90 κρατερῶϲ H. —
β γ α
91 ἐπι CGL. ἐπι ADH. ἦλθε κελεύων καὶ λήϊτον D. — 92 δηΐπυλον Townl. δηΐπυτον Vrat. d. — 93 τὲ AGH'. μύϲτωραϲ G. — 95 ὔμμιν DGH'. ἔγωγε libri. — 96 ἀμάϲ ACEG Apoll. de Pron. 127 C. 142 B. Apoll. Soph. 27, 18. Et Mg. 79, 28: ἁμάϲ DHH'L Vrat. d. — 98 ὑπο A. τρώεϲϲι L. — 101 τοπάροϲ AL. τοπάροϲ G. — 102 φυζακινοῖϲ Pseudopl. 137, 50. — 103 παρδαλίων CGHL Mor. Cant. Harl. Lips. Et. Mg. 410, 13. Phot. Lex. 52. Schol. β 289: πορδαλίων ADH' l. mau. Schol. ε 368. Apoll. Soph. 82, 33. 134, 5. Suidas II, 2, 103, 16. Hesych. II, 270.

A. c. 92 Πηνέλεων: διὰ τοῦ ō ἀριϲτοφάνηϲ Πηνέλεον Didymus. — 103 θώων Aristarchus, Diocles, Dionysius Thrax, Herodianus: θωῶν Pamphilus. παρδαλίων Aristarchus, cf. H. T. 331.

αὔτωϲ ἠλάϲκουϲαι ἀνάλκιδεϲ, οὐδ᾽ ἔπι χάρμη·
ὣϲ Τρῶεϲ τὸ πρίν γε μένοϲ καὶ χεῖραϲ Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεϲκον ἐναντίον, οὐδ᾽ ἠβαιόν.
νῦν δὲ ἑκὰϲ πόλιοϲ κοίληϲ ἐπὶ νηυϲὶ μάχονται
ἡγεμόνοϲ κακότητι μεθημοϲύνῃϲί τε λαῶν,
οἳ κείνῳ ἐρίϲαντεϲ ἀμυνέμεν οὐκ ἐθέλουϲι
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν᾽ αὐτάϲ.
ἀλλ᾽ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιόϲ ἐϲτιν
ἥρωϲ Ἀτρείδηϲ, εὐρὺ κρείων Ἀγαμέμνων,
οὕνεκ᾽ ἀπητίμηϲε ποδώκεα Πηλεΐωνα,
ἡμέαϲ γ᾽ οὔ πωϲ ἔϲτι μεθιέμεναι πολέμοιο.
ἀλλ᾽ ἀκεώμεθα θᾶϲϲον· ἀκεϲταί τοι φρένεϲ ἐϲθλῶν.
ὑμεῖϲ δ᾽ οὐκέτι καλὰ μεθίετε θούριδοϲ ἀλκῆϲ
πάντεϲ ἄριϲτοι ἐόντεϲ ἀνὰ ϲτρατόν. οὐδ᾽ ἂν ἐγώ γε
ἀνδρὶ μαχηϲαίμην, ὅϲ τιϲ πολέμοιο μεθείη
λυγρὸϲ ἐών· ὑμῖν δὲ νεμεϲϲῶμαι περὶ κῆρι.
ὦ πέπονεϲ, τάχα δή τι κακὸν ποιήϲετε μεῖζον
τῇδε μεθημοϲύνῃ· ἀλλ᾽ ἐν φρεϲὶ θέϲθε ἕκαϲτοϲ
αἰδῶ καὶ νέμεϲιν· δὴ γὰρ μέγα νεῖκοϲ ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυϲὶ βοὴν ἀγαθὸϲ πολεμίζει
καρτερόϲ, ἔρρηξεν δὲ πύλαϲ καὶ μακρὸν ὀχῆα.

---

V. L. 104 αὔτωϲ AEGH. ἐπὶ CDEHH′L. ἐπι A. χάρμη ACE. χαρμῆ H′. χάρμην H. χάρμηϲ Barocc. — 105 ὥϲ AE. τρῷεϲ L. τοπρίν G. — 107 δὲ ἑκὰϲ: δ᾽ ἕκαθεν ACDEGHH′LS et Heynii libri. ἐπι A. ναυϲὶ L. — 108 μεθημοϲύνῃϲι: μεθημοϲύνῃ GL. τὲ G. — 109 ἐρείϲαντεϲ G. ἐθέλουϲι ACDEGHH′. — 110 ἀν A. — 111 ἐϲτι H. — 112 εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 113 οὕνεκα ἠτίμηϲε G. ἀπ᾽ ἠτίμηϲεν D. — 114 οὔπω G. ἐϲτὶ ACDEGHH′L. μεθηέμεναι G. μεθηϲέμεναι Vrat. A. — 115 θᾶττον G. ἀκεϲταί τε H. — 116 οὐκ ἔτι D. καλλὰ G. μεθείετε H′. — 117 ἔγωγε libri. — 118 μαχεϲϲαίμην ACEGHH′LS et libri Heynii. Plutarchus de Adulat. et amico 33. μαχεϲϲέμην Lips. μαχεϲαίμην D. μεθείη: μεθείει AC Townl. μεθίει GHL Mor. Cant. Harl. Vrat. b. 1.
ιει
man. A μεθείη H′. — 119 omitt. C. 1. man. habet in marg. man. rec. νεμεϲῶμαι Lips. Et. Mg. 432, 33. περι AD. — 121 τῆι δὲ D. μεθιμοϲύνῃ L. θέϲθαι GL Barocc. — 122 αἰδῶ D. ὄρωρε H′. — 123 ἕκτωρ δὲ Cant. παρα A. — 124 κρατερὸϲ G. ἔρρηξε DGHL Barocc. Lips. Vrat. A. Schol. C 275.

---

A. c. 107 Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ νῦν δὲ ἑκὰϲ πόλιοϲ Didymus; Aristarchus igitur δ᾽ ἕκαθεν. — 115 τοι: ἔν τιϲι τῶν ὑπομνημάτων διὰ τοῦ τε ἀκεϲταί τε Schol. A. — 118 μαχηϲαίμην, vid. H. T. 308.

ὣϲ ῥα κελευτιόων γαιήοχοϲ ὦρϲεν Ἀχαιούϲ.
ἀμφὶ δ᾽ ἄρ᾽ Αἴαντας δοιοὺϲ ἵϲταντο φάλαγγεϲ
καρτεραί, ἃϲ οὔτ᾽ ἄν κεν Ἄρηϲ ὀνόϲαιτο μετελθὼν
οὔτέ κ᾽ Ἀθηναίη λαοϲϲόοϲ· οἱ γὰρ ἄριϲτοι
κρινθέντεϲ Τρῶάϲ τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντεϲ δόρυ δουρί, ϲάκοϲ ϲάκεϊ προθελύμνῳ.
ἀϲπὶϲ ἄρ᾽ ἀϲπίδ᾽ ἔρειδε, κόρυϲ κόρυν, ἀνέρα δ᾽ ἀνήρ·
ψαῦον δ᾽ ἱππόκομοι κόρυθεϲ λαμπροῖϲι φάλοιϲι
νευόντων· ὣϲ πυκνοὶ ἐφέϲταϲαν ἀλλήλοιϲιν.
ἔγχεα δ᾽ ἐπτύϲϲοντο θραϲειάων ἀπὸ χειρῶν
ϲειόμεν᾽· οἳ δ᾽ ἰθὺϲ φρόνεον, μέμαϲαν δὲ μάχεϲθαι.
Τρῶεϲ δὲ προὔτυψαν ἀολλέεϲ, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ
ἀντικρὺ μεμαώϲ, ὀλοοίτροχοϲ ὣϲ ἀπὸ πέτρηϲ,
ὅν τε κατὰ ϲτεφάνηϲ ποταμὸϲ χειμάῤῥοοϲ ὤϲῃ,
ῥήξαϲ ἀϲπέτῳ ὄμβρῳ ἀναιδέοϲ ἔχματα πέτρηϲ·
ὕψι δ᾽ ἀναθρῴϲκων πέτεται, κτυπέει δέ θ᾽ ὑπ᾽ αὐτοῦ
ὕλη· ὃ δ᾽ ἀϲφαλέωϲ θέει ἔμπεδον, εἷοϲ ἵκηται
ἰϲόπεδον, τότε δ᾽ οὔ τι κυλίνδεται ἐϲϲύμενόϲ περ·
ὣϲ Ἕκτωρ εἵωϲ μὲν ἀπείλει μέχρι θαλάϲϲηϲ

V. l. 125 ὣϲ ῥὰ GH′L. ὥ ῥα H. ὦϲεν Mor. — 126 ἀρ̀ A. ἆρ DGHH′L. αἴαντε L. — 127 κρατεραὶ G. οὔτ᾽ ἄν κεν: οὔτε κεν S. οὐδέ κεν G. — 128 οὔτέ κ᾽ ACH′L. οἳ γὰρ H. — 129 κριθέντεϲ CDGHH′ Lips. Vrat. A. τρῴαϲ L. τρῶαϲ τὲ H. — 130 φράξαντε H. — 131 ἀϲπὶϲ δ᾽ ἀϲπίδ᾽ ἔρειδε Plutarchus Amat. 17, 10. ἆρ CGHH′. ἀρ A. κόρυϲ δὲ κόρυν G Plutarchus l. l. — 132 ψαῦόν θ᾽ Schol. K 258. φάλοιϲι ACEGHH′ Schol. K 258. Rhet. Gr. II, 249, 12. — 133 πύκινοὶ L Vrat. A. — 134 δὲ πτύϲϲοντο AGS. δ᾽ ἐπτήϲϲοντο L. δ᾽ ἐπτύϲϲοντο CDEHH′ Apoll. Soph. 75, 13. Et. Mg. 695, 17. Δ᾽ ЄΠΤΥϹϹΟΝΤΟ Syr. ἄπο A. — 135 οἳ δ᾽ D. οἵδ᾽ CGH′L. — 136 τρῷεϲ L. ἆρ DEGHH′L ἀρ A. — 137 ὀλοοίτροχοϲ A. ὀλοότροχοϲ CGH′. ὀλοότροχοϲ Barocc. Mor. ὀλοοίτριχοϲ L. ὡϲ AD GHH′L. πέτρου Schol. Λ 269. — 138 χειμάροϲϲ H. ΧЄΙΜΆΡΡΟϹ Syr. χείμαῤῥοϲ GL Vrat. A. ὤϲει C Schol. Λ 269. Et. Mg. 726, 42. ὤϲῃ L (ει) Vrat. b. — 140 ὕψι δ᾽ DEGHH′. ΫΨΙΔ᾽ Syr. ὕψι τ᾽ CLS Schol. Φ 126. ἀναθρώιϲκων A: ceteri ἀναθρώϲκων. — 141 ΫΛΗΙ Syr. ὃ om. H. ὅδ᾽ CDGHL. * εἷοϲ ἵκηται: εἵωϲ ἵκηται C. ἕωϲ ἵκηται AE 925, 32 L. ἕωϲ ἂν ἵκηται et γρ. ὄφρ᾽ ἂν Lips. ὄφρ᾽ ἂν ἵκηται DE 924, 51 GHH′S Syr. εἰϲόκεν ἔλθῃ Schol. Λ 269. — 143 ὡϲ A.

A. c. 132 ἱππόκομοι Herodianus προπαροξυτόνωϲ. — 137 ὀλοοίτροχοϲ Demetrius Gonypesus, Hermappias, Nicias, Aristeas, Aristonicus. ὀλοοιτρόχοϲ Comanus et Ptolemaeus Ascalonita, conf. Cram. A. P. III, 285, 25. Et Mg. 622, 39.

ῥέα διελεύϲεϲθαι κλιϲίαϲ καὶ νῆαϲ Ἀχαιῶν
κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇϲ ἐνέκυρϲε φάλαγξι,
ϲτῆ ῥα μάλ' ἐγχριμφθείϲ. οἳ δ' ἀντίοι υἷεϲ Ἀχαιῶν
νύϲϲοντεϲ ξίφεϲίν τε καὶ ἔγχεϲιν ἀμφιγύοιϲιν
ὦϲαν ἀπὸ ϲφείων· ὃ δὲ χαϲϲάμενοϲ πελεμίχθη.
ἤυϲεν δὲ διαπρύϲιον Τρώεϲϲι γεγωνώϲ·
Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ ϲχήϲουϲιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν ϲφέαϲ αὐτοὺϲ ἀρτύναντεϲ,
ἀλλ', ὀίω, χάϲϲονται ὑπ' ἔγχεοϲ, εἰ ἐτεόν με
ὦρϲε θεῶν ὥριϲτοϲ, ἐρίγδουποϲ πόϲιϲ Ἥρηϲ.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
Δηίφοβοϲ δ' ἐν τοῖϲι μέγα φρονέων ἐβεβήκει
Πριαμίδηϲ, πρόϲθεν δ' ἔχεν ἀϲπίδα πάντοϲ' ἐίϲην,
κοῦφα ποϲὶ προβιβὰϲ καὶ ὑπαϲπίδια προποδίζων.
Μηριόνηϲ δ' αὐτοῖο τιτύϲκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀϲπίδα πάντοϲ' ἐίϲην
ταυρείην· τῆϲ δ' οὔ τι διήλαϲεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηίφοβοϲ δὲ
ἀϲπίδα ταυρείην ϲχέθ' ἀπὸ ἕο, δεῖϲε δὲ θυμῷ
ἔγχοϲ Μηριόναο δαΐφρονοϲ· αὐτὰρ ὅ γ' ἥρωϲ
ἂψ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο, χώϲατο δ' αἰνῶϲ

V. l. 144 ῥεῖα δ' ἐλεύϲεϲθαι ACDEGHH'LS Syr. — 145 δή: διά H. πυκιναῖϲ L. ἐνέκυρε H. φάλαγξι ACDGHH'L Syr. Vrat. A. Eust. 923, 43.: φάλαγξιν E. — 146 ῥὰ DGHL. ἐγχριφθεὶϲ H' Vrat. b. d. A. οἶδ' CGHH'L. — 147 ξίφεϲι G Lips. — 148 ἀπο A. ὃ δὲ C. χαϲάμενοϲ DGH Lips. πολεμίχθη GH'. — 149 ἤϋϲε G. 1. man. H. δὲ omitt. L. τρώεϲι H. τρῴεϲϲι L. — 150 τρῷεϲ L. — 151 οὔ τοι: οὔ τι CEG Flor. Rom. — 153 ὀίω: οἴω DEHH'L. ΟΙΩ Syr. χάϲονται D. ἐτεόν περ H'. — 154 'ὤριϲτοϲ AE. ὤριϲτοϲ Vrat. d. ἄριϲτοϲ H. — 155 ὣϲ A. — 157 omitt. D in textu, habet in marg. man rec. ἔχεν: ἔϲχεν G. πάντοϲε, ἴϲην A. πάντοϲε ἴϲην CD m. rec LS. ΠΑΝΤΟϹЄΙϹΗΝ Syr. — 158—160 omitt. H. — 158 ὑπαϲπίδια ACE 925, 61; 961, 8. ὑπ' ἀϲπίδια D Vrat. b. d. ὑπ' ἀϲπίδα GL Lips. Flor. Apoll. Soph. 158, 1. — 159 δ' αὐτοῖο: δ' ἐν τοῖϲι Apoll. Soph. 153, 10. — 160 καταϲπίδα A. πάντοϲε, ἴϲην A. πάντοϲε ἴϲην CDLS. ΠΑΝΤΟϹЄΙϹΗΝ Syr. — 161 τῆϲ οὔτι Vrat. A. — 163 ϲχέτο G. ἀπο A. ἀπο (αἱ) L. — 165 ἂψ: ÀΨΔ' Syr.

A. c. 144 ῥέα διελεύϲεϲθαι: οὕτωϲ Ἀρίϲταρχοϲ. οἱ δὲ ῥεῖα δ' ἐλεύϲεϲθαι Schol. V. conf. Didym. ad Υ 263 Ἀρίϲταρχοϲ ἔξω τοῦ ι ῥέα. — 148 χαϲϲάμενοϲ πελεμίχθη: ὅτι Ζηνόδοτοϲ γράφει ὃ δὲ χάϲϲατο πολλὸν ὀπίϲϲω Aristonicus.

ἀμφότερον, νίκηϲ τε καὶ ἔγχεοϲ, ὅ ξυνέαξε.
βῆ δ' ἰέναι παρά τε κλιϲίαϲ καὶ νῆαϲ Ἀχαιῶν,
οἰϲόμενοϲ δόρυ μακρόν, ὅ οἱ κλιϲίηφι λέλειπτο.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄϲβεϲτοϲ ὀρώρει.
Τεῦκροϲ δὲ πρῶτοϲ Τελαμώνιοϲ ἄνδρα κατέκτα,
Ἴμβριον αἰχμητήν, πολυίππου Μέντοροϲ υἱόν.
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷαϲ Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεϲικάϲτην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεϲ ἤλυθον ἀμφιέλιϲϲαι,
ἂψ εἰϲ Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεϲϲι,
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶϲα τέκεϲϲι.
τόν ῥ' υἱὸϲ Τελαμῶνοϲ ὑπ' οὔατοϲ ἔγχεϊ μακρῷ
νύξ', ἐκ δ' ἔϲπαϲεν ἔγχοϲ· ὁ δ' αὖτ' ἔπεϲεν μελίη ὥϲ,
ἥ τ' ὄρεοϲ κορυφῇ ἕκαθεν περιφαινομένοιο
χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάϲϲῃ·
ὣϲ πέϲεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκροϲ δ' ὡρμήθη μεμαὼϲ ἀπὸ τεύχεα δῦϲαι·
Ἕκτωρ δ' ὁρμηθέντοϲ ἀκόντιϲε δουρὶ φαεινῷ.
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοϲ
τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου υἷ' Ἀκτορίωνοϲ,
νιϲϲόμενον πόλεμον δὲ κατὰ ϲτῆθοϲ βάλε δουρί.
δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε' ἐπ' αὐτῷ.

---

V. L. 166 τὲ H. ξυνέαξε ACDEGH. ΞῪΝΈΑΞΕ Syr. — 168 κλιϲίηφι ACEG (Lips. Mor. Vrat. A). — 171 πολυῒππου A. — 172 ναῖε δὲ: ὃϲ ναῖε C. πήδαϲον Flor. ΥΪΑϹ Syr. — 173 μηδεϲικάϲτην A. μηδεκαϲίϲτην L. μηδεϲικάτην Lips. — 174 νῆεϲ C. 1. man. G. — 175 ἂψ δ' Et. Mg. 184, 35. εἰϲ: ἐϲ E. τρώεϲϲι ACDH Syr. τρῴεϲϲιν L. — 176 παρ AD. τῖεν AC. τέκεϲϲι ACDH Syr.: τέκεϲϲιν EGL. — 177 τόν ῥ': τόν ῥα G. τὸν δ' Syr. Vrat. A. — 178 ὅδ' CGHL. αὖτ' ἔπεϲεν: ἐν ἄλλῳ αἶψ' ἔπεϲεν A. ἔπεϲε G Lips. — 179 κορυφῇ ACEL: κορυφῆϲ DGHS Syr. Cant. Mor. Harl. Vrat. b. d. conf. Β 456. Π 634. — 180 ταμνομένη ACDEGHS Cant. Mor. Lips. Harl. Vrat τεμνομένη L Syr. Flor. πελάϲϲει C. — 181 ὡϲ A. ἀμφι D. βράχεν D. — 182 ὁρμήθη Lips. 1. man. ἀπο ACDHL. — 185 ὁ δ' L ὅδ' CDG. ΌΔ' Syr. υἷα L. — 186 νῑϲόμενον AC. νιϲόμενον Townl. Lips. Vrat. d. νειϲόμενον D Syr. νῑϲϲόμενον H (ει 2. man.). πόλεμον δὲ A: ceteri πόλεμόνδε. κατα A. — 187 ἐπαυτῶι A.

---

A. c. 166 ξυνέαξε: Ζηνόδοτοϲ ξυνέηξε, cf. Schol. Ν 257. — 168 ὅ οἱ: τινὲϲ ἅ οἱ ὡϲ „κῆτοϲ, ἃ μυρία βόϲκει" (μ 97) Schol. V. — 172 ναῖε δὲ: ὅτι Ζηνόδοτοϲ γράφει ὃϲ νάε Πήδαιον Aristonicus. — 179 κορυφῇ: οὕτωϲ ἀρίϲταρχοϲ ἑνικῶϲ. ἄλλοι δὲ κορυφῆϲ Didymus.

Ἕκτωρ δ᾽ ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ᾽ ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ᾽ οὔ πῃ χροὸς εἴσατο, πᾶς δ᾽ ἄρα χαλκῷ
σμερδαλέῳ κεκάλυφθ᾽· ὃ δ᾽ ἄρ᾽ ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὃ δὲ χάσσατ᾽ ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ᾽ ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς,
ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ᾽ Αἴαντε, μεμαότε θούριδος ἀλκῆς.
ὥς τε δύ᾽ αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήια πυκνά,
ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
τεύχεα συλήτην· κεφαλὴν δ᾽ ἁπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀιλιάδης κεχολωμένος Ἀμφιμάχοιο,
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι᾽ ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
    καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηιοτῆτι,
βῆ δ᾽ ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν

---

V. l. 190 ὀρέξατο: ἀκόντισε S. γρ. ἀκόντισε Harl. Lips. — 191 οὔπῃι ADE. ceteri οὔπῃ. C οὔπω. — 192 κεκάλυπτο D (an κεκάλυπτο, ὃ δ᾽ ἀσπίδος?). ὃ δ᾽ D. ὅδ᾽ CGL. ἂρ DGL. ἀρ A. οὔτα C. — 193 ὅδ᾽ CG. δὲ, χάσσατ᾽ L. δ᾽ ἐχάσσατ᾽ ACEG 2. man. S. δ᾽ ἐχάσατ᾽ G 1. man. ὀπίσσωι A. — 194 ἐξείρυσαν GL Vrat. A. Flor. ἐξέρυσσαν H. — 195 στιχίος ACDHL. στυχίος G. στύχιος Barocc. Mor. δῖος τὲ H. — 196 μετα A. λαὸν: ἐν ἄλλῳ μετὰ ἔθνος A. — 197 μεμαῶτε CD Flor. Rom. — 198 ὕπο ACG. ὑπὸ DEHL. καρχαροδόντων A. — 199 ἀναρωπήϊα A. ἀνα ῥοπήϊα D. — 200 μετα A. γαμφϋλῇσιν L. ἜΧΟΝΤΕϹ Syr. ἔχοντες Cant. — 201 ὥς ῥὰ L. ὪϹ ΑΡΑ Syr. ἔχοντο A. δύω: δύ᾽ G Vrat. A. κορυσταὶ L. — 202 ὑπὸ δειρῆς Vrat. b. 2. man. — 203 ὁ ἰλιάδης D. Ὀϊληάδης E. — 204 ἑλιξάμενος C. ἑλιξόμενος L. — 205 κονίῃσι ACDGH: κονίῃσιν EL. — 206 ΠΕΡῚ ΚΗΡῚ Syr. ΠΟϹΙΔΑΩΝ Syr. ποσειδάων A, sed ceteris locis ποσιδάων. — 207 ἐν αἰνῇ δηϊοτῆτι: ΕΝῚ ΚΡΑΤΕΡῆΙ ΫϹΜΊΝΗΙ Syr.

---

A. c. 190 ὀρέξατο: τινὲς δὲ ἀκόντισε Schol. V. — 191 Aristarchus χρόος (διῃρημένως ἀντὶ τοῦ χρώς): χροὸς Herodianus et Aristarchus teste Alexione (itaque fortasse διχῶς). Zenodotus χρώς. — 198 αἶγα: αἶγε Zenodotus. — 203 κόψεν Ὀιλιάδης: κόψε γὰρ Ἰλιάδης Zenodotus, cf. H. T. 322.

ὀτρυνέων Δαναούϲ, Τρώεϲϲι δὲ κήδε᾽ ἔτευχεν.
Ἰδομενεὺϲ δ᾽ ἄρα οἱ δουρὶ κλυτὸϲ ἀντεβόληϲεν
ἐρχόμενοϲ παρ᾽ ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε, κατ᾽ ἰγνύην βεβλημένοϲ ὀξέι χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὃ δ᾽ ἰητροῖϲ ἐπιτείλαϲ
ἤιεν ἐϲ κλιϲίην· ἔτι γὰρ πολέμοιο μενοίνα
ἀντιάαν· τὸν δὲ προϲέφη κρείων ἐνοϲίχθων
εἰϲάμενοϲ φθογγὴν Ἀνδραίμονοϲ υἷι Θόαντι,
ὃϲ πάϲῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖϲιν ἄναϲϲε, θεὸϲ δ᾽ ὣϲ τίετο δήμῳ·
Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
οἴχονται, τὰϲ Τρωϲὶν ἀπείλεον υἷεϲ Ἀχαιῶν;
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύϲ, Κρητῶν ἀγόϲ, ἀντίον ηὔδα·
ὦ Θόαν, οὔ τιϲ ἀνὴρ νῦν γ᾽ αἴτιοϲ, ὅϲϲον ἐγώ γε
γιγνώϲκω· πάντεϲ γὰρ ἐπιϲτάμεθα πτολεμίζειν.
οὔτέ τινα δέοϲ ἴϲχει ἀκήριον οὔτέ τιϲ ὄκνῳ
εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
μέλλει δὴ φίλον εἶναι ὑπερμενέι Κρονίωνι,
νωνύμνουϲ ἀπολέϲθαι ἀπ᾽ Ἄργεοϲ ἐνθάδ᾽ Ἀχαιούϲ.
ἀλλὰ Θόαν, καὶ γὰρ τὸ πάροϲ μενεδήιοϲ ἦϲθα,

---

V. l. 209 ὀτρύνεον Lips. τρῴεϲϲι L. — 210 δουρί, κλυτὸϲ A: ceteri δουρικλυτόϲ. — 212 βεβολημένοϲ edd. vett. — 213 ὃ δ᾽ D. ὅδ᾽ CGHL. ἐπιϲτείλαϲ L. — 214 ἐϲ κλιϲίην ACGHL Syr. Cant. Mor. Lips. Vrat. d. ἐκ κλιϲίηϲ D. ἐκ^c κλιϲίηϲ^ν S. — 215 ἀντιάᾳν G. — 216 φθογγὴν: φωνὴν GL Mor. Barocc. υἷι: ΥΙΕΙ Syr. — 218 ὡϲ AD. ἐτίετο G. add. D in marg. 3. man. H Cant. Townl. in marg. Lips. in marg. τῷ μιν ἐειϲάμενοϲ προϲέφη κρείων ἐνοϲίχθων. L τῶ μιν ἐειϲάμενοϲ ἔπεα πτερόεντα προϲηύδα. — 220 τρωϲὶν L. — 221 ηὗδα D. — 222 ὦ Θόαν: ὦ πέπον D. νῦν γ᾽: νῦν ACDEHS Syr. Cant. Harl. Lips. Vrat. b. d. Eust. 904, 20. ἔγωγε libri. — 223 γιγνώϲκω GL: γινώϲκω ACDEH Syr. Eust. 904, 21. πτολεμίζειν AGHLS Syr. Mor. Barocc. πολεμίζειν CDE Eust. 904, 21. Vrat. A. — 224 οὔτέ τινα ACDGH Eust. 904, 21. ΟΥΤΈΤΙΝΑ Syr. οὔτέ τιϲ ACDGHL Eust. 904, 21. — 225 ἀναδύεται D Lips. πτόλεμον G. ἀλλά πω S. οὕτω ACDEGHL Syr. — 226 μέλλει δϊὶ φίλον L. — 227 νωνύμνουϲ AH Syr. Eust. 928, 60: νωνύμουϲ CDE 928, 39 GLS Cant. Mor. Harl. υἷαϲ ἀχαιῶν A et γρ. καὶ ἐνθάδ᾽ ἀχαιούϲ. — 228 τοπάροϲ G. τοπάροϲ DHL.

---

A. c. 222 ἀρίϲταρχοϲ μετὰ τοῦ γ̄ νῦν γ᾽ αἴτιοϲ Didymus. νῦν δ᾽ αἴτιοϲ Aristophanes teste Schol. V. — 224 οὔτέ: ἔν τιϲι τῶν ἀντιγράφων διὰ τοῦ δ̄ε̄, οὐδέ Schol. A. — 225 οὕτω διὰ τοῦ ν̄ ἀνδύεται αἱ ἀριϲτάρχου Didymus. τινὲϲ δὲ γράφουϲιν ἀδδύεται Schol. V. cf. H. T. 294.

ὀτρύνειϲ δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
τῶ νῦν μήτ' ἀπόληγε κέλευέ τε φωτὶ ἑκάϲτῳ.
τὸν δ' ἠμείβετ' ἔπειτα Ποϲειδάων ἐνοϲίχθων·
Ἰδομενεῦ, μὴ κεῖνοϲ ἀνὴρ ἔτι νοϲτήϲειεν
ἐκ Τροίηϲ, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅϲ τιϲ ἐπ' ἤματι τῷδε ἑκὼν μεθίῃϲι μάχεϲθαι.
ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
ϲπεύδειν, αἴ κ' ὄφελόϲ τι γενώμεθα καὶ δύ' ἐόντε.
ϲυμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶι δὲ καί κ' ἀγαθοῖϲιν ἐπιϲταίμεϲθα μάχεϲθαι.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν·
Ἰδομενεὺϲ δ' ὅτε δὴ κλιϲίην εὔτυκτον ἵκανε,
δύϲετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ' ἴμεν ἀϲτεροπῇ ἐναλίγκιοϲ, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντοϲ Ὀλύμπου,
δεικνὺϲ ϲῆμα βροτοῖϲιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
ὣϲ τοῦ χαλκὸϲ ἔλαμπε περὶ ϲτήθεϲϲι θέοντοϲ.
Μηριόνηϲ δ' ἄρα οἱ θεράπων ἐὺϲ ἀντεβόληϲεν
ἐγγὺϲ ἔτι κλιϲίηϲ· μετὰ γὰρ δόρυ χάλκεον ᾔει
οἰϲόμενοϲ· τὸν δὲ προϲέφη ϲθένοϲ Ἰδομενῆοϲ·
Μηριόνη, Μόλου υἱέ, πόδαϲ ταχύ, φίλταθ' ἑταίρων,
τίπτ' ἦλθεϲ πόλεμόν τε λιπὼν καὶ δηιοτῆτα;
ἠέ τι βέβληαι, βέλεοϲ δέ ϲε τείρει ἀκωκή,

V. l. 229 ὀτρύνοιϲ Townl. ὅθι: ὅτε ACL Vrat. A. ὅθι τε Lips. — 230 τῶ ACDGHL. ΤΩ Syr. νῦν μήποτ' G. κέλευε δὲ H Syr. — 231 ποϲιδάων A Syr. — 232 ἔτι νοϲτήϲειεν: ἐκνοϲτήϲειεν G. — 234 ἐπ' ἤματι D. ΜΕΘΕΗϹΙ Syr. — 235 ΔΕΫΡΟΤΕΥΧΕΑ Syr. — 236 γενώμεθα: γενοίμεθα Cram. A. P. III, 334, 8. ἐόντε: ἐόντεϲ G Barocc. — 237 ϲυμφερτὴ: ἀφερτὴ Et. Mg. 176, 29 diserte. — 238 ΕΠΙϹΤΊΜΕϹΘΑ Syr. ἐπιϲταίμεθα H. ἐπιϲτάμεϲθα DL Lips. Vrat. A. ἐπιϲτάμεθα EGS. ἐπιϲτάμεθα πολεμίζειν Eust. 929, 22. — 239 ὡϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἀμπόνον ACDEG HL Et. Mg. 85, 54. ἀν πόνον Lips. Vrat. b. — 240 ἐΰτυκτον C: ceteri εὔτυκτον. ἵκανε ACG Syr. — 241 δῦϲϲετο H Lips. Rom. — 242 βῆ ῥ' Vrat. d. ἴμεν' H. ἐναλίγγιοϲ G. — 245 ὡϲ AD 1. man. περι A. ϲθήθεϲφι G Barocc. Mor. Vrat. b. 2. man. conf. Β 388, 544. Ε 452, 722. Μ 151, 401, 425. — 247 ᾖει: εἴη Lips. — 248 τόνδε G.

A. c. 229 γρ. καὶ ὅθι μεθιέντα Schol. A. Ζηνόδοτοϲ δὲ ὅτιϲ μεθίηιϲι πόνοιο Didymus. — 237 ϲυμφερτὴ δ' ἀρετή: Ζηνόδοτοϲ ϲυμφερτὸϲ δὲ βίη Didymus. add. Schol. V καὶ Ἀριϲτοφάνηϲ. — 245 περί: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ ἐνιϲτήθεϲϲι Didymus. — 246 Aristarchus θεράπων ἐύϲ: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ δουρι κλυτοϲ (sic) Didymus. alii θεραπωνεύϲ.

ἦέ τευ ἀγγελίης μετ᾽ ἔμ᾽ ἤλυθες; οὐδέ τοι αὐτὸς
ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.
τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὖδα·
[Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,]
ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
ἀσπίδα Δηιφόβοιο βαλὼν ὑπερηνορέοντος.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
δούρατα δ᾽, αἴ κ᾽ ἐθέλῃσθα, καὶ ἓν καὶ εἴκοσι δήεις
ἑσταότ᾽ ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώια, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
τῶ μοι δούρατά τ᾽ ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι,
καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.
τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
πόλλ᾽ ἔναρα Τρώων· ἀλλ᾽ οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλόν πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀίω.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·

---

V. L. 252 μετ᾽ ἐμ᾽ G. μετεμ῀ A. μετέμ᾽ L. μετ᾽ ἐμεῦ D. οὐδέ τοι ACDHL Cant. Townl. Vrat. b. d. Lips.: οὐδέ τι EG. — 253 ἐνι A. ἐν L Lips. κλισίῃ G. — 254 πεπνυμένος: δουρικλυτὸς L. — 255 omitt. ACD Syr. Townl. in textu: habent C in marg. man rec. D in marg. 3. man. EGHLS Townl. in marg. ἔν τισι μετὰ τοῦτον φέρεται „Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων" Schol. V ad 254. — 256 εἴ τϊ τοι C. εἴ τί που Herodianus περὶ σχημάτων apud Villois. Anecd. Gr. II, 88. εἴ που τοι Herod. ap. Dindorf. 48, 1. ἐνι A. κλισίηφι L. — 258 δηϊφόβοιο A. — 259 ηῦδα D. — 260 ΔΟΎΡΑΤΑΤ᾽ Syr. δούρατά γ᾽ C. αἴ κε θέλῃσθα D Syr. Townl. δήεις GS. δήσεις Cram. Ep. 122, 24. — 261 κλισίῃς Harl. προσενώπια AGL Syr. — 263 ἱστάμενοι L. — 264 τῶ ACDGHL Syr. ἐστι AH Syr. ἐστὶ C. δούρατ᾽ ἐστὶ G Flor. Rom. δοῦρα τάτ᾽ ἐστι D. — 266 ηῦδα D. add. D in marg. 3. man. ἰδομενεὺ κρητων βουληφορε χαλκοχιτώνων, conf. 255. — 268 τρώων L. ἐστὶν L. — 269 ἐμὲ φημὶ ACDG. ἐμέ φημι EHL Apoll. de Pron. 52 B; 59 A. de Synt. 139, 22. — 270 ἀνα D. — 272 ποῦ CDH. — 274 τόνδ᾽ ἄρ G. ηῦδα D.

---

A. c. 257 κατεάξαμεν: Ζηνόδοτος κατεήξαμεν, conf. 166.

οἶδ' ἀρετὴν οἷός ἐςςι· τί ςε χρὴ ταῦτα λέγεςθαι;
εἰ γὰρ νῦν παρὰ νηυςὶ λεγοίμεθα πάντες ἄριςτοι
ἐς λόχον, ἔνθα μάλιςτ' ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ' ὅ τε δειλὸς ἀνήρ, ὅς τ' ἄλκιμος, ἐξεφαάνθη·
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧςθαι ἐρητύετ' ἐν φρεςὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα ςτέρνοιςι πατάςςει
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίγνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς οὔτέ τι λίην
ταρβεῖ, ἐπειδὰν πρῶτον ἐςίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιςτα μιγήμεναι ἐν δαῒ λυγρῇ·
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης,
οὐκ ἂν ἐν αὐχέν' ὄπιςθε πέςοι βέλος οὐδ' ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ ςτέρνων ἢ νηδύος ἀντιάςειε
πρόςςω ἱεμένοιο μετὰ προμάχων ὀαριςτύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς
έςταότες, μή πού τις ὑπερφιάλως νεμεςήςῃ.

V. L. 275 οἷος ἐςςὶ DG. οἷος γ' ἐςςὶ L. — 276 εἰ γὰρ δὴ H. εἰ δὴ γὰρ Vrat. d. παρα A. λεγώμεθα Et. Gud. 374, 10. — 277 διβείδεται S. ἀνδρῶν: ἀνδρός Schol. A 227. — 278 ὅτ' ἄλκιμος G. ὅτε ἄλκιμος Et. Mg. 261, 32. ὥς τ' ἄλκιμος Apoll. Soph. 56, 31. ἔνθ' ἄλκιμος Lips. — 279 ἄλύδις L Flor. ἄλλη C. ἄλλως G. — 281 omitt. Pseudopl. 138, 40.
ου
ἐπαμφοτέρους A. — 282 δέ τε οἱ CDGHL. — 283 ὀϊομένω H. γίγνετ L: γίνετ' ACDGH Pseudopl. 138, 40. Schol. Arist. Nub. 377. Stob. Floril. 51, 15. γίνεται E. — 284 οὔτέ τι ADGHL. — 285 ἐπειδὰν libri: recentiores ἐπὴν δὴ vel ἐπεί κεν ex coniectura. — 287 τεόν τε L. — 288 γάρ
ε
κε: γὰρ καὶ L Vrat. b. d. γάρ καὶ H. γὰρ βεβλεῖο Et. Mg. 200, 2. βλῆο C. βλῆς (em. βλῆο) Cr. Ep. 167, 4. — 289 οὔ κεν ἐν H. ἐν: ἐπ' Pseudopl. 157, 20. Stob. Flor. 7, 14. ὄπιςθεν C. ὄπιςθεν Lips. πέςῃ G. Barocc. ἐνὶ: ἐπὶ Stob. Flor. 7, 14. — 290 ςτέρνων: ςτέρνοιο G Cant. Mor. (an ςτέρνου?). ἀντιάςειε ACEGH. — 291 πρόςω G. ἱεμένοιο CDH Vrat. b. d. μετα A. ὀαριςτήν G. — 292 ἀλλά γε D Harl. μὴ κέτι D. νήπιοι G. ὡς A. — 293 μή που τις CDHL. μή πως τις E Rom.

A. c. 287 τεόν γε: οὕτω διὰ τοῦ γε ςυνδέςμου αἱ ἀριςτάρχου Didymus. — 288 γάρ κε: Bekk. 2. γάρ τε ex coni. sed conf. εἴ περ γάρ κ' ἐθέλοιμεν B 123. Θ 205. εἴ περ γάρ κ' Ὀδυςεὺς μενοινήςειε β 246. εἴ περ ἂν ἀείδοιεν B 597. αἴ κέ περ ἡδὺ γένοιτο H 387. ἤν περ γὰρ φύγῃ X 487. (Γ 25. Ε 224. 232. Λ 391. Μ 302). formam βλεῖο tuentur Schol. N 288. Cram. Ep. 94, 28. Et. Mg. 200, 1. Suidas I, 2, 213, 8. conf. Buttm. Gramm. ampl. II. pg. 126 et 274. — 289 οὐκ ἂν: οὕτως ἀρίςταρχος οὐκ ἂν διὰ τοῦ α, αἱ δὲ κοιναὶ οὔ κεν Didymus.

ἀλλὰ cύ γε κλιcίην δὲ κιὼν ἕλευ ὄβριμον ἔγχοc.
ὣc φάτο, Μηριόνηc δὲ θοῷ ἀτάλαντοc Ἄρηι
καρπαλίμωc κλιcίηθεν ἀνείλετο χάλκεον ἔγχοc,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώc.
οἷοc δὲ βροτολοιγὸc Ἄρηc πόλεμον δὲ μέτειcι,
τῷ δὲ Φόβοc φίλοc υἱὸc ἅμα κρατερὸc καὶ ἀταρβὴc
ἕcπετο, ὅc τ' ἐφόβηcε ταλάφρονά περ πολεμιcτήν·
τὼ μὲν ἄρ' ἐκ Θρήκηc Ἐφύρουc μέτα θωρήccεcθον,
ἠὲ μετὰ Φλεγύαc μεγαλήτοραc· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροιcι δὲ κῦδοc ἔδωκαν·
τοῖοι Μηριόνηc τε καὶ Ἰδομενεύc, ἀγοὶ ἀνδρῶν,
ἤιcαν ἐc πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
τὸν καὶ Μηριόνηc πρότεροc πρὸc μῦθον ἔειπε·
Δευκαλίδη, πῇ τ' ἂρ μέμοναc καταδῦναι ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸc cτρατοῦ, ἢ ἀνὰ μέccουc,
ἢ ἐπ' ἀριcτερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω
δευέcθαι πολέμοιο κάρη κομόωνταc Ἀχαιούc.
τὸν δ' αὖτ' Ἰδομενεύc, Κρητῶν ἀγόc, ἀντίον ηὖδα·
νηυcὶ μὲν ἐν μέccῃcιν ἀμύνειν εἰcὶ καὶ ἄλλοι,
Αἴαντέc τε δύω Τεῦκρόc θ', ὃc ἄριcτοc Ἀχαιῶν
τοξοcύνῃ, ἀγαθὸc δὲ καὶ ἐν cταδίῃ ὑcμίνῃ·
οἵ μιν ἅδην ἐλόωcι καὶ ἐccύμενον πολέμοιο,

---

V. L. 294 κλιcίην δὲ A: ceteri κλιcίηνδε. ὄβριμον: ὄμβριμον CHL. — 295 ώc A. — 297 πολέμοιο G Lips. Flor. — 298 libri πόλεμόνδε. μέτειcι ACD EGH. — 301 ἆρ ADEGHL Apoll. Soph. 80, 12. ἐκ Θρήκηc Ἐφύρουc: εἰc Ἐφύρουc πόλεμον. Pausan. IX, 36, 2. μεταθωρήccεcθον CD. μεταθωρήcεcθον GHL. μέτα θωρήcεcθον Apoll. Soph. 80, 12. μέτα θωρήccοντο Strabo IX, 442. — 302 μετα AL. — 303 ἀμφοτέρων: ἀμφοτέροιc L. — 304 τὲ καὶ CH. — 306 πρότερον S. προc D. ἔειπε ACGH. — 307 πῇ AEH: ceteri πῆ. τ' ἆρ: τἀρ D. — 308 ἤ: libri ἢ. ἐπι A. δεξιόφι Schol. B 233. Et. Mg. 500, 9. μέccον Flor. παντὸc cτρατοῦ — 309 οὕτω man. rec. addit. in H. — 309 ἔλπομ' D. οὕτω ADEGHL Apoll. Soph. 58, 1: vulgo οὕτωc. — 310 κάρη κομόωνταc solus A. — 311 ηὖδα D. — 312 μέcοιcιν G. — 313 δύο D. τεῦκροc ὃc G. — 314 δὲ om. L. — 315 ἄδην C (D 1. man.?).
δ
ἄδην D (spiritus et alterum δ 2. man.). ἐλόωcϊ C. ἐλόωcιν Lips.

---

A. c. 298 οὕτω μετὰ τῆc μετὰ προθέcεωc μέτειcι Schol. A. — 309 οὔ ποθι: τινὲc δὲ οὔ ποτε Schol. V. — 315 ἄδην: ἅδην, cf. H. T. 179. ἐλόωcι Aristarchus, conf. Aristonicum, qui explicat ἄδην ἐλόωcιν ἀντὶ τοῦ κορεcθῆναι αὐτὸν ποιήcουcιν. κατ' ἔνια τῶν ὑπομνημάτων οἵ μιν ἄδην ἄcουcι (cod. ἐάcουcι), ὅ ἐcτι κορέcουcιν. μαρτυρεῖ καὶ τὸ „ἄcειν ἐν Τροίῃ ταχέαc κύναc“ (Λ 817). οὕτωc Ἀρίcταρχοc Didymus. ὅτι Ζηνόδοτοc ἀγνοήcαc τὸ cημαινόμενον πεποίηκε (μεταπεποίηκε?) καὶ ἐccύμενον πολεμίζειν Aristonicus.

[Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐϲτιν].
αἰπύ οἱ ἐϲϲεῖται, μάλα περ μεμαῶτι μάχεϲθαι,
κείνων νικήϲαντι μένοϲ καὶ χεῖραϲ ἀάπτουϲ
νῆαϲ ἐνιπρῆϲαι, ὅτε μὴ αὐτόϲ γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεϲϲι θοῇϲιν.
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ,
ὃϲ θνητόϲ τ' εἴη καὶ ἔδοι Δημήτεροϲ ἀκτήν,
χαλκῷ τε ῥηκτὸϲ μεγάλοιϲί τε χερμαδίοιϲιν.
οὐδ' ἂν Ἀχιλλῆι ῥηξήνορι χωρήϲειεν
ἔν γ' αὐτοϲταδίῃ· ποϲὶ δ' οὔ πωϲ ἔϲτιν ἐρίζειν.
νῶιν δ' ὧδ' ἐπ' ἀριϲτέρ' ἔχε ϲτρατοῦ, ὄφρα τάχιϲτα
εἴδομεν ἠέ τῳ εὖχοϲ ὀρέξομεν, ἦέ τιϲ ἡμῖν.
ὣϲ φάτο, Μηριόνηϲ δὲ θοῷ ἀτάλαντοϲ Ἄρηι
ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ ϲτρατόν, ᾗ μιν ἀνώγει.
οἳ δ' ὡϲ Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν,
αὐτὸν καὶ θεράποντα, ϲὺν ἔντεϲι δαιδαλέοιϲι,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντεϲ ἔβηϲαν.
τῶν δ' ὁμὸν ἵϲτατο νεῖκοϲ ἐπὶ πρυμνῇϲι νέεϲϲιν.
ὡϲ δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων ϲπέρχωϲιν ἄελλαι
ἤματι τῷ, ὅτε τε πλείϲτη κόνιϲ ἀμφὶ κελεύθουϲ,
οἵ τ' ἄμυδιϲ κονίηϲ μεγάλην ἱϲτᾶϲιν ὀμίχλην,
ὣϲ ἄρα τῶν ὁμόϲ' ἦλθε μάχη, μέμαϲαν δ' ἐνὶ θυμῷ
ἀλλήλουϲ καθ' ὅμιλον ἐναιρέμεν ὀξέι χαλκῷ.

---

V. L. 316 omitt. ACD Townl.: habent D in marg. 3. man. EGHLS Townl. in marg. man. rec. — 319 ὅτι μὴ Lips. αὐτόϲ γε: αὐτόϲ τε H Vrat. d. — 321 εἴξει H. — 324 ἀχϊλῆϊ C. — 325 ἔν γ': ἔν τ' G. ἐν δ' H. αὐτοϲταδίηι A. οὔπω G. ἐϲτὶν ACEGHL. ἐϲτιν D. — 326 ὧδ' om. L. ἐπαριϲτερ" A. — 327 ἴδομεν D. — 328 ὡϲ A. — 329 ἀφίκοιτο L Harl. Lips. κατα A. ϲτρατὸν om. L. — 330 οἳ δ' D. οἵδ' CGHL. ἴκελον H. — 331 ϲυνέντεϲι A. ἔντεϲϲι G. δαιδαλέοιϲι ACG. μαρμαίρονταϲ H Vrat. d. ϲὺν τεύχεϲι λευγαλέοιϲι Lips. ἐν ἄλλῳ ἐνέντεϲι μαρμαίρονταϲ A. — 333 ἔπι A. πρύμνηϲι, non πρυμνῇϲι, libri. — 334 ὕπο A. ὑπαὶ L. — 335 ἤματι D. τε om. GL. — 336 ὀμίχλην ADL: ὁμίχλην CEGH, conf. A 359. — 337 ὡϲ D 1. man. ὁμόϲ': ὁμῶϲ (ὀν) D. ὁμῶϲ L. ἐνι AD Syr.

---

A. c. 318 κείνων: οὕτωϲ πληθυντικῶϲ αἱ Ἀριϲτάρχου Didymus. alii igitur κείνου, sc. Ajacis Telamonii. ἀάπτουϲ: ἀρίϲταρχοϲ ἀέπτουϲ, ἄλλοι δὲ ἀάπτουϲ, sed conf. Herod. ad A 567 ἀάπτουϲ: οὕτωϲ δὲ καὶ Ἀρίϲταρχοϲ. ἐν δὲ ταῖϲ Ἀριϲτοφάνουϲ γλώτταιϲ διὰ τοῦ ε ἐγέγραπτο ἀέπτουϲ. H. T. 175. — 333 πρυμνῇϲι vid. H. T. 346.

ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ᾽ ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κε θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ᾽ ἀκάχοιτο.
    τὼ δ᾽ ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μέν ῥα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδέ τι πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιικὸν Ἰλιόθι πρό,
ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ᾽ ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη·
τῶ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινεν,
λάθρῃ δ᾽ αἰὲν ἔγειρε κατὰ στρατὸν ἀνδρὶ ἐοικώς.

V. l. 339 ἔφριξε EL Schol. Δ 282. Φ 126. φθισίβροτος GL Schol. Eurip. Phoen. 1105. ἐγχείῃσι ACEG: ἐγχείῃσιν DHL Syr. Schol. Β 148. — 340 μακρῇς᾽ H. ταμεσίχροας A. ἄμεργεν Schol. Ε 336. — 341 αὐγῇ χαλκείῃ L. ἀπολαμπομενάων ACDEGHL Mor. Schol. Ε 336. — 342 τὲ (bis) CH. — 343 μάλά κεν C. θρασυκάρδιος A. — 344 τότε: τόγε H. — 345 δύο D. κραταιὼ: κρατερὼ DG. — 346 ἡρώεσσιν ἐτεύχετον Schol. Κ. 364: ἡρώεσσι τετεύχετον ADL Cram. Ep. 397, 15. ἡρώεσσι τετεύχατον CEH Townl. τετεύχατο GS. ΗΡΩΕ . . . . . . . . ΕΑΛΥΓΡΆ Syr. ἐν ἄλλῳ ἡρώεσσιν ἐτευχετο[ν] A. — 347 μέν ῥα AC: ceteri μὲν ἄρα. τρώεσσι L. νίκην: κῦδος Schol. Α 5. — 348 ἀχιλλῆα G. οὐδέ τι AHL Vrat. d: ceteri οὐδ᾽ ὅγε cum Schol. Θ 36. — 349 ὀλέσθαι: ὀλέσσαι CH. ἀχαϊκὸν E Lips. — 350 υἱέα est forma poëtae insolita neque Atticis cognita: passim ea utebantur poëtae Alexandrini, Callimachus h. in Cer. 80. epigr. 10, 3. Theocr. XIII, 8. Apoll. Rhod. II, 803. IV, 1493. — 351 ποσιδάων A. — 352 γὰρ ῥὰ L. γὰρ δὴ G. — 353 τρωσὶν L. τρωσὶ DEG 1. man. Lips. Flor. Schol. Ζ 479. — 355 ᾔδη ADE. ΗΔΗ Syr. ἤδη HL. ᾔδει CG Mor. Barocc. Pseudopl. 131, 28. — 356 τῶ ACDGHL Syr. ῥὰ L. ἀμφαδίῃ AE 936, 55; 64. G. ἀμφαδίῃ CHS Lips. Vrat. d. ἀλέεινε ACDGL Syr. — 357 ΛΑΘΡΗ Syr. κατα A.

A. c. 346 ἐτεύχετον: τὰ πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ ᾱ τετεύχατον Cram. Ep. 397, 16. conf. Κ 364. Σ 582. — 347 μέν ῥα: οὕτως ἀρίσταρχος. ἄλλοι δὲ Ζεὺς μὲν ἄρα Didymus. — 348 οὐδέ τι: ἀριστοφάνης οὐδ᾽ ὅγε πάμπαν Didymus. — 350 ἀθετεῖται Aristonicus. — 356 ἀμφαδίην ut Η 196. ε 120.

τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροιςι τάνυςςαν,
ἄῤῥηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυςεν.
ἔνθα μεςαιπόλιός περ ἐών, Δαναοῖςι κελεύςας,
Ἰδομενεὺς Τρώεςςι μετάλμενος ἐν φόβον ὦρςε.
πέφνε γὰρ Ὀθρυονῆα Καβηςόθεν ἔνδον ἐόντα,
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει.
ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίςτην,
Καςςάνδρην, ἀνάεδνον, ὑπέςχετο δὲ μέγα ἔργον,
ἐκ Τροίης ἀέκοντας ἀπωςέμεν υἷας Ἀχαιῶν.
τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔςχετο καὶ κατένευςε
δωςέμεναι· ὃ δὲ μάρναθ' ὑποςχεςίῃςι πιθήςας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύςκετο δουρὶ φαεινῷ,
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεςε θώρηξ
χάλκεος, ὃν φορέεςκε, μέςῃ δ' ἐν γαςτέρι πῆξε.
δούπηςεν δὲ πεςών· ὃ δ' ἐπεύξατο φώνηςέν τε·
Ὀθρυονεῦ, περὶ δή ςε βροτῶν αἰνίζομ' ἁπάντων,
εἰ ἐτεὸν δὴ πάντα τελευτήςεις ὅς' ὑπέςτης
Δαρδανίδῃ Πριάμῳ· ὃ δ' ὑπέςχετο θυγατέρα ἥν.

---

V. l. 358 τοὶ δ': οἳ δ' D. τὼ δ' L. ΕΙΔΕΡΙΔΟϹ Syr. πτολέμοιο DHS Lips. Flor. — 359 πεῖρας (ρ supra) Cant. — 360 τό: ὃ E. — 362 τρώεςςι L. μετάλμενος libri mei, Cant. Mor. Harl. Lips. Vrat. d. ἐν ἄλλῳ τρώεςςιν ἐπάλμενος A. ὦρςε ACH Schol. Ε 153. — 363 πέφνε δ' ἆρ G. Καβήςςοθεν Steph. Byz. 344, 13. — 364 ὃς ῥὰ GL. πτολέμοιο Strabo XIII, 600. — 366 καςάνδρην CE Lips. ὑπίςχετο L. δέ: δὴ G ex corr. γὰρ H. — 367 ἀἔκοντας A. — 368 ὑπό τ' ἔςχετο: ὑπέςχετο DEG Syr. (sine accentu) Rom. κατένευςε ACEGH: κατένευςεν DL Syr. — 369 πιθήςας: πεποιθὼς H Vrat. d. — 372 φορέεςκεν D. γαςτέρι τύψεν D. πῆξε ACEGH Syr. — 373 δούπηςε G Flor. ὃ δ' D. ὅδ' CGHL. — 374 ΑΘΡΥΟΝΕΥ͂ Syr. περὶ ACH. περι D Syr. πέρι EGL Schol. Pind. Pyth. VIII, 56. Apoll. Soph. 14, 29. Et. Mg. 36, 12. Rhet. Gr. III, 92, 24. — 375 δὴ πάντα: δὴ ταῦτα Rhet. Gr. III, 92, 25. ὡς ὑπέςτης L Flor. — 376 ὃ δ' DL. ὅδ' CG.

---

A. c. 358 τοί: οὕτως ἀριςτοφάνης (ἀρίςταρχος?) ἄλλοι δὲ οἱ δ' ἔριδος Didymus. — 359 ἀμφοτέροιςι et ἀλλήλοιςι Aristarchus διχῶς. — 363 Καβηςόθεν ἔνδον: Ἑκάβης νόθον υἱὸν Argolica. alii ἐνδονέοντα, κεκινημένον. — 364 μετά: ἀριςτοφάνης κατὰ κλέος Didymus. conf. Λ 227 μετὰ κλέος ἵκετ' Ἀχαιῶν. Pind. Pyth. IV, 125 ἤλυθον κατὰ κλέος. — 367 ἀπωςέμεν (Zenodotus? Sch. V). ἀρίςταρχος ἀνωςέμεν Didymus. — 371 Aristarchus βιβάντα. — 373 τινὲς δὲ κερτομέων ἔπος ηὔδα Sch. V. — 374 αἰνίζομ': φέρεται καὶ διὰ τοῦ ξ αἰνίξομαι, ἀντὶ τοῦ ἐπαινέςομαι. Ζηνόδοτος αἰνίςςομαι Didymus.

καί κέ τοι ἡμεῖϲ ταῦτά γ' ὑποϲχόμενοι τελέϲαιμεν,
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδοϲ ἀρίϲτην,
Ἄργεοϲ ἐξαγαγόντεϲ, ὀπυιέμεν, εἴ κε ϲὺν ἄμμιν
Ἰλίου ἐκπέρϲῃϲ εὖ ναιόμενον πτολίεθρον.
ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυϲὶ ϲυνώμεθα ποντοπόροιϲιν
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν.
ὣϲ εἰπὼν ποδὸϲ ἕλκε κατὰ κρατερὴν ὑϲμίνην
ἥρωϲ Ἰδομενεύϲ. τῷ δ' Ἄϲιοϲ ἦλθεν ἀμύντωρ
πεζὸϲ πρόϲθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχοϲ θεράπων· ὃ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὃ δέ μιν φθάμενοϲ βάλε δουρὶ
λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲεν.
ἤριπε δ' ὡϲ ὅτε τιϲ δρῦϲ ἤριπεν ἢ ἀχερωίϲ,
ἠὲ πίτυϲ βλωθρή, τήν τ' οὔρεϲι τέκτονεϲ ἄνδρεϲ
ἐξέταμον πελέκεϲϲι νεήκεϲι νήιον εἶναι·
ὣϲ ὃ πρόϲθ' ἵππων καὶ δίφρου κεῖτο τανυϲθείϲ,
βεβρυχώϲ, κόνιοϲ δεδραγμένοϲ αἱματοέϲϲηϲ.
ἐκ δέ οἱ ἡνίοχοϲ πλήγη φρέναϲ, ἃϲ πάροϲ εἶχεν·
οὐδ' ὅ γ' ἐτόλμηϲεν, δηίων ὑπὸ χεῖραϲ ἀλύξαϲ,
ἂψ ἵππουϲ ϲτρέψαι, τὸν δ' Ἀντίλοχοϲ μενεχάρμηϲ
δουρὶ μέϲον περόνηϲε τυχών· οὐδ' ἤρκεϲε θώρηξ
χάλκεοϲ, ὃν φορέεϲκε, μέϲῃ δ' ἐν γαϲτέρι πῆξεν.

---

V. l. 377 ΤΑΫΤΥΠΟϹΧΟΜЄΝΟΙ Syr. τελευτήϲαιμεν G. — 379 ὀπυέμεν DG Vrat. A. εἴ κε: αἴ κε Vrat. d εἰϲόκε ϲὺν D. ἄμμϊ CDH Lips. — 380 εὖ ναιόμενον ACEHL: ceteri εὐναιόμενον. — 381 ἕπι A. ϲυνώμεθα: γρ. ϲυνθώμεθα G. ποντοπόροιϲι D. — 382 ἐεδνωταὶ AE Lips. εἰμεν: ἤμεν C. ἐϲμεν D. κακοὶ εἰμὲν E. — 383 ἕλκε: εἷλκε ACDEGHLS . . . . . ΚЄΚΑΤΑ Syr. κατὰ: δια A. διὰ C. γρ. κατὰ κρατερὴν A. — 384 ἄϲϲιοϲ Vrat. A. — 386 ἡνίοχοϲ G. ὅδε G. ϊετο A. ἵετο C. ίετο D. — 388 ὑπανθερεῶνα H διὰ πρὸ D. δϊαπρο C Syr. ceteri διαπρὸ cum. Schol. Π 188. χαλκὸϲ L. ἔλαϲϲε H. — 389 ὡϲ, ὅϲ τε G et γρ. ὅτε τϊϲ. δρὺϲ CD. — 390 βλωθρὴν G post ras. et γρ. βλωθρή. τὴν δ' Lips. — 391
η
νείϊον C. — 392 ὡϲ A. ὃ ACDGHL. — 395 ὅγε τόλμηϲεν GS. ΟΓЄΤΌΛΜΗϹЄΝ Syr. τόλμηϲε Lips. Vrat. A. — 396 ἥππουϲ G. — 398 ΜЄϹΗ Ambr. ἐν: ἐνὶ G Mor.

---

A. c. 381 ἕπευ: conf. Didym. ad K 146 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ῡ ἀλλ' ἔπε' ὄφρα. — 382 ἐεδνωταὶ (οὕτωϲ πᾶϲαι): ἐεδνῶται Tyrannio. — 383 οὕτωϲ ἀρίϲταρχοϲ ἕλκε Didymus. — 384 ἦλθεν ἀμύντωρ: ἀρίϲταρχοϲ ἦλθ' ἐπαμύντωρ Didymus, cf. Ξ 449. Ο 540. — 389 ἀχερωίϲ: alii ἀχελωίϲ teste Eust. 959, 1. — 390 οὔρεϲι τέκτονεϲ: οὐρεϲιτέκτονεϲ Nicias ὑφ' ἕν. — 391 νεήκεϲι (καὶ Ἀλεξίων): νεηκέϲι Ptolem. Ascalonita.

αὐτὰρ ὅ γ᾿ ἀϲθμαίνων εὐεργέοϲ ἔκπεϲε δίφρου,
ἵππουϲ δ᾿ Ἀντίλοχοϲ, μεγαθύμου Νέϲτοροϲ υἱόϲ,
ἐξέλαϲε Τρώων μετ᾿ ἐυκνήμιδαϲ Ἀχαιούϲ.
Δηίφοβοϲ δὲ μάλα ϲχεδὸν ἤλυθεν Ἰδομενῆοϲ,
Ἀϲίου ἀχνύμενοϲ, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ.
ἀλλ᾿ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοϲ
Ἰδομενεύϲ· κρύφθη γὰρ ὑπ᾿ ἀϲπίδι πάντοϲ᾿ ἐίϲῃ,
τὴν ἄρ᾿ ὅ γε ῥινοῖϲι βοῶν καὶ νώροπι χαλκῷ
δινωτὴν φορέεϲκε, δύω κανόνεϲϲ᾿ ἀραρυῖαν·
τῇ ὕπο πᾶϲ ἐάλη, τὸ δ᾿ ὑπέρπτατο χάλκεον ἔγχοϲ,
καρφαλέον δέ οἱ ἀϲπὶϲ ἐπιθρέξαντοϲ ἄυϲεν
ἔγχεοϲ· οὐδ᾿ ἅλιόν ῥα βαρείηϲ χειρὸϲ ἀφῆκεν,
ἀλλ᾿ ἔβαλ᾿ Ἱππαϲίδην Ὑψήνορα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾿ ὑπὸ γούνατ᾿ ἔλυϲε.
Δηίφοβοϲ δ᾿ ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύϲαϲ·
οὐ μὰν αὖτ᾿ ἄτιτοϲ κεῖτ᾿ Ἄϲιοϲ, ἀλλά ἕ φημι
εἰϲ Ἄϊδόϲ περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήϲειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπαϲα πομπόν.
ὣϲ ἔφατ᾿, Ἀργείοιϲι δ᾿ ἄχοϲ γένετ᾿ εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιϲτα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ᾿ οὐδ᾿ ἀχνύμενόϲ περ ἑοῦ ἀμέληϲεν ἑταίρου,
ἀλλὰ θέων περίβη καί οἱ ϲάκοϲ ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ᾿ ὑποδύντε δύω ἐρίηρεϲ ἑταῖροι,
Μηκιϲτεύϲ, Ἐχίοιο πάιϲ, καὶ δῖοϲ Ἀλάϲτωρ,

---

V. l. 399 ὅ γ᾿: ὃ L. — 401 ἐξέλαϲϲε H. τρώιων CL. εὐκνήμιδαϲ CDGHL. ΕΥΚΝΗΜΕΙΔΑϹ Ambr. — 404 ὃ μὲν C. — 405 πάντοϲε, ἴϲηι A. ΠΑΝΤΟϹΕ ΙϹΗΙ Ambros. πάντοϲε ἴϲῃ DGSL (ἴϲην). ἀϲπίδα D 1. man. — 406 ἂρ ADGH. ὅ γε CD Lips.: ὅγ᾿ ἐν AGHLS et Heynii libri. Zon. Lex. 520. Draco de Metr. 80, 4, ΟΓ᾿ ΕΝ ΡΙΝΟΙϹΙ Ambros. conf. ad M 263. — 408 τῇ: τὴν D. τῇ δ᾿ ὕπο Vrat. d. ὑπο A. ὑπὸ DL. ἐάλη EGL: ceteri ἐάλη cum Scholl. Λ 192. Φ 536. ἐάληι A. τόδ᾿ A. — 410 ἅλιον ῥὰ L. — 411 ἀλλὰ βάλ᾿ D. ἔβαλλ᾿ C. — 412 ἧπαρ A. ὑπο bis A. δ᾿ omitt. L. δὲ γούνατ᾿ S. ἔλυϲε ACG: cet. ἔλυϲεν. — 414 ἄτιτοϲ A. ἀλλά ἑ φημὶ ACD EGHL. — 415 ἐόντα S. κρατεροῖο: κρυεροῖο Cant. — 416 κατα AD. — 420 ἀμφεκάλυψε ACDG. ἀμφικάλυψε Vrat. d. — 421 ὑποδῦντε D. — 422 habet A in marg.

---

A. c. 399 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ γε αὐτὰρ ὃ ἀϲθμαίνων Didymus. — 407 κανόνεϲϲ᾿: ἐκ πλήρουϲ αἱ ἀριϲτάρχου κανόνεϲϲι Schol. A. conf. H. T. 396. — 415 [ὅτι] ἰόντα διὰ τοῦ ι αἱ ἀριϲτάρχου Didymus. — 423 οὕτω διὰ τοῦ ε αἱ ἀριϲτάρχου ϲτεναχόντε, οὐ διὰ τοῦ α Didymus. ϲτεναχόντα Zenodotus.

νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντε.
Ἰδομενεὺς δ᾽ οὐ λῆγε μένος μέγα, ἵετο δ᾽ αἰεὶ
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ᾽ Αἰσυήταο διοτρεφέος φίλον υἱόν,
ἥρω᾽ Ἀλκάθοον, γαμβρὸς δ᾽ ἦν Ἀγχίσαο·
πρεσβυτάτην δ᾽ ὤπυιε θυγατρῶν, Ἱπποδάμειαν,
τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τοὔνεκα καί μιν
γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·
τὸν τόθ᾽ ὑπ᾽ Ἰδομενῆι Ποσειδάων ἐδάμασσε
θέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα·
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽ οὔτ᾽ ἀλέασθαι,
ἀλλ᾽ ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρὶ
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον·
δὴ τότε γ᾽ αὖον ἄυσεν ἐρεικόμενος περὶ δουρί.
δούπησεν δὲ πεσών, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν

V. L. 423 ἐπι A. ἐπὶ CDHL. στενάχοντε AE: στενάχοντα CDGHLS Cant. Vrat. d. A. Flor. στενάχοντες Lips. — 424 ἰδομενεῦς A Bekk. Anecd. 1204. 1236. 1241. Cram. A. O. III, 233, 31. (Et. Gud. 273, 30): ἰδομενεὺς CDEGHLS cum Schol. Φ 305. ἵετο ACD. — 425 τρῴων L. καλῦψαι H. — 426 ἀχαιῶν Mor. Barocc. — 429 ὤπυε DL. ἱπποδάμειαν A. — 430 περι D. — 432 κάλλει Schol. A 115. ἠδὲ S. τούνεκα A. — 433 ὤριστος A. ῾ὤριστος EL. ὥριστος H. ἐνι A. ἐν DG. τινὲς ἄλλους ὑποτάσσουσι „πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας, Πριαμίδας θ᾽, οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισιν, εἷος (cod. ἕως) ἔθ᾽ ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος Schol. V. conf. Eust. 940, 61. — 434 ποσιδάων A. ἐδάμασσε ACDGH. — 435 φαεινὼ CH Vrat. d. A. Lips. Flor. Rom. — 436 ἐξοπίσῳ H. — 437 στήλη D. δένδρον Lips. ὑψιπέτηλον A. — 439—441 omitt. L. — 439 ῥῆξε DE Lips. ἀμφι DH. — 440 ἀπο A. — 441 ἐρῑκόμενος A. ἐρικόμενος Vrat. d. Apoll. Soph. 76, 12. περι A. — 442 δούπησε Lips. πεπήγει AC 1. man. ἐπεπήγη G. — 443 πελέμιζεν AD: πελέμιξεν CEGLS Cram. Ep. 392, 1. πελέμιξε Et. Mg. 722, 53. πολέμιξεν H.

A. c. 424 Ἰδομενεὺς: τινὲς περισπῶσιν Schol. V. οἱ δὲ μένευς, ἀντὶ τοῦ μένους Schol. V. — 428 ἥρων τινὲς Ἀττικῶς Schol. V. — 443 πελέμιζεν: οὕτω διὰ του ζ̄ Ἀρίσταρχος καὶ Ἀριστοφάνης. ἄλλοι δὲ πελέμιξεν διὰ τοῦ ξ̄ Didymus.

ἔγχεοϲ· ἔνθα δ' ἔπειτ' ἀφίει μένοϲ ὄβριμοϲ Ἄρηϲ·
Ἰδομενεὺϲ δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύϲαϲ·
Δηίφοβ', ἦ ἄρα δή τι ἐίϲκομεν ἄξιον εἶναι
τρεῖϲ ἑνὸϲ ἀντὶ πεφάϲθαι; ἐπεὶ ϲύ περ εὔχεαι οὕτωϲ·
δαιμόνι', ἀλλὰ καὶ αὐτὸϲ ἐναντίον ἵϲταϲ' ἐμεῖο,
ὄφρα ἴδῃ οἷοϲ Ζηνὸϲ γόνοϲ ἐνθάδ' ἱκάνω,
ὃϲ πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνωϲ δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἔμ' ἔτικτε πολέϲϲ' ἄνδρεϲϲιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆεϲ ἔνεικαν
ϲοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοιϲι Τρώεϲϲιν.
ὣϲ φάτο, Δηίφοβοϲ δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίϲϲαιτο μεγαθύμων
ἂψ ἀναχωρήϲαϲ, ἦ πειρήϲαιτο καὶ οἶοϲ.
ὧδε δέ οἱ φρονέοντι δοάϲϲατο κέρδιον εἶναι,
βῆναι ἐπ' Αἰνείαν· τὸν δ' ὕϲτατον εὗρεν ὁμίλου
ἑϲταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ' ἄρ' ἐϲθλὸν ἐόντα μετ' ἀνδράϲιν οὔ τι τίεϲκεν.
ἀγχοῦ δ' ἱϲτάμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Αἰνεία, Τρώων βουληφόρε, νῦν ϲε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί ϲε κῆδοϲ ἱκάνει.

---

V. L. 444 ἐνθάδ' H. ὄμβριμοϲ CH. — 446 δή τι: δή τοι L. δή τἴ ϲ' ἐΐϲκομεν H Townl. Vrat. d. Flor. — 447 ἀντιπεφᾶϲθαι ACD Vrat. A. Lips. ἀντιπεφῶϲθαι G. ἀντιπεφάϲθαι EL Eust. 938, 26. 1346, 4. 1348, 32. ἀντὶ πεφάϲθαι H. Schol. Ω 213. οὕτωϲ ACDHL Lips. Harl. Townl. Vrat. αὕτωϲ S Eust. 938, 26. αὔτην G. — 448 ἐναντίον: ἐναντίοϲ CE 938, 29. 941, 37. GHLS. γρ. καὶ ἐναντίοϲ A. — 449 ἴδῃ L: ἴδῃϲ AEGH et Heynii libri cum Apoll. Soph. 55, 16. Et Mg. 238, 7. ἴδηϲ CDS. — 450 τέκεν D Vrat. A. ἐπίουρον A. — 452 * ἔμ' ἔτικτε: δέ μ' ἔτικτε D man. rec. post ras. H Vrat. d. δ' ἐμὲ, τίκτε A. vulgo δ' ἐμὲ τίκτε cum CD 1. man. EGL. πολέεϲϲ' CGH Vrat. b. d. — 454 ἄλλοιϲΐν C. τρῴεϲϲιν L. — 455 ὥϲ A. — 456 ἤ: εἴ CHS Cant. Vrat. d. ἑταρίϲαιτο D. ἑταρίϲατο Lips. Vrat. A. — 457 πειρήϲϲαιτο H. — 458 ᾧδε G. — 460 ἑϲταότα D. — 461 ἆρ ADEGHL. — 462 προϲηΰδα D. — 463 τρώιων CL. — 464 εἴ πέρ τι ϲε ACEHL. ἱκάνοι L.

---

A. c. 446 οὕτωϲ ἀρίϲταρχοϲ δή τι ἐΐϲκομεν χωρὶϲ τοῦ ϲ̄ Didymus. — 447 οὕτωϲ: οὕτω διὰ τοῦ ο̄ ἀρίϲταρχοϲ. Ζηνόδοτοϲ διὰ τοῦ ᾱ Didymus conf. H. T. 209. — 449 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ϲ̄ ἴδῃ Didymus. — 450 ἐπίουρον Aristarchus, Zenodotus, Trypho, Ptol. Ascalonita, Herodianus: alii ἔπι οὖρον. conf. Apoll. Soph. 104, 7 οἱ μὲν κατ' ἀναϲτροφὴν ἀναγινώϲκουϲι καὶ περιϲπῶϲι τὴν οὖρον. — 452 ἔμ' ἔτικτε, conf. Z 206. τ 181. — 456 ἀρίϲταρχοϲ ἤ τινα. ἄλλοι δὲ εἴ τινα Didymus.

ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅϲ ϲε πάροϲ γε
γαμβρὸϲ ἐὼν ἔθρεψε δόμοιϲ ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺϲ δουρὶ κλυτὸϲ ἐξενάριξεν.
ὣϲ φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ ϲτήθεϲϲιν ὄρινε,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώϲ.
ἀλλ' οὐκ Ἰδομενῆα φόβοϲ λάβε τηλύγετον ὥϲ,
ἀλλ' ἔμεν', ὡϲ ὅτε τιϲ ϲῦϲ οὔρεϲιν ἀλκὶ πεποιθώϲ,
ὅϲ τε μένει κολοϲυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρῳ ἐν οἰοπόλῳ, φρίϲϲει δέ τε νῶτον ὕπερθεν·
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόνταϲ
θήγει, ἀλέξαϲθαι μεμαὼϲ κύναϲ ἠδὲ καὶ ἄνδραϲ·
ὣϲ μένεν Ἰδομενεὺϲ δουρὶ κλυτόϲ, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρουϲ,
Ἀϲκάλαφόν τ' ἐϲορῶν Ἀφαρῆά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήϲτωραϲ ἀυτῆϲ·
τοὺϲ ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προϲηύδα·
δεῦτε φίλοι, καί μ' οἴῳ ἀμύνετε· δείδια δ' αἰνῶϲ
Αἰνείαν ἐπιόντα πόδαϲ ταχύν, ὅϲ μοι ἔπειϲιν,
ὃϲ μάλα καρτερόϲ ἐϲτι μάχῃ ἔνι φῶταϲ ἐναίρειν·
καὶ δ' ἔχει ἥβηϲ ἄνθοϲ, ὅ τε κράτοϲ ἐϲτὶ μέγιϲτον.
εἰ γὰρ ὁμηλικίῃ γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ,
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτοϲ, ἠὲ φεροίμην.

---

V. l. 465 ἐπαμυνέμεν L. ἐπαμείνομεν S. πάροϲ γε ACDHLS Syr. Lips. Harl. Cant. Mor. Vrat. b. d. πάροϲ περ recentiores post Wolfium. — 466 ἔνι ACE; ἐνὶ GHL. ἐνι D. — 467 δουρὶ. κλυτὸϲ A. δουρὶ κλυτὸϲ G. — 468 ὡϲ A. ἐνι A. ὄρινε AC Syr. — 469 πολέμοιο Lips. — 470 ὡϲ A. — 471 ὡϲ ὅτε: ὥϲ τέ Eust. 912 37. τῖϲ CL. — 473 οἰοπώλῳ Lips. — 474 ὀφθαλμῶι D. — 476 ὡϲ A. δουρὶ. κλυτὸϲ A. δουρῖ κλυτὸϲ H. — 477 βοηθόον A. βοηθόον CGL Barocc. Harl. Lips. Vrat. d. βοῆ θοὸν DHS. — 480 προϲηῦδα D. — 481 μοι οἴῳ ἀμύνατε E. — 483 ἔνι ACEH. ἐνὶ G. ἐνι DL. — 484 καὶ δ': καί γ' Et. Gud. 234, 57. — 485 ὁμηλικίη CL Syr. Schol. Ε 153: ὁμηλικίῃ AEGH. ὁμηλικίην D. γε. γενοίμεθα A. γεγενοίμεθα E. γεγενήμεθα Vrat. d. ἐπὶ: ἐνὶ CEGHLS. Schol. Ε 153. ἐνι D. — 486 μέγα κλέοϲ Harl. Lips. ΉΚΕ ΦΕΡΟΙΜΗΝ Syr. conf. Ι 702. C 308. Χ 246. 253. ξ 184. ο 300.

---

A. c. 465 ἕπευ, conf. 381. οὕτω ϲχεδὸν ἅπαϲαι ἐπαμύνωμεν (sic) Didymus. τινὲϲ ἐπαμῦναι Schol. V. πάροϲ γε, conf. Ρ 270. Χ 302 et Ο 256 ubi eadem lectionis varietas. — 480 ἐν πολλοῖϲ οὐ φέρεται Schol. V. — 485 ὁμηλικίῃ: Ζηνόδοτοϲ δὲ ὁμηλικίην ϲὺν τῷ ν̄ ἔγραφεν Didymus. ἀρίϲταρχοϲ τῷδ' ἐπὶ θυμῷ Didymus et in altero scholio καὶ πᾶϲαι οὕτωϲ εἶχον, conf. π 99. ω 511.

ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηίφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν·
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
οἳ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ' ὅμιλον
ἀλλήλων· δύο δ' ἄνδρες ἀρήιοι ἔξοχον ἄλλων,
Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηι,
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ·
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
ἤφυσ'· ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,

---

V. L. 487 ὡς A. οἵδ' CL. — 488 ἔστασαν C Flor. — 489 ἑτάροισι ACG Syr. — 491 οἵ οἱ: ΤΟΙΟΙ Syr. τρῴων L. — 492 ὡσεί libri. μετα A. ἕσπεται D. ἕππετο H. — 493 δὲ ἄρα φρένα L. — 494 ὡς A. αἰνείαο S. ἐνι A. — 495 ἐπισπώμενον Apoll. Soph. 70, 18. — 496 οἳ δ' D. οἵδ' CL. — 497 περι ADH Syr. — 498 κονάβησε Cant. — 499 δύω D. ἔξοχον AGH Syr. Harl. Townl. Flor.: ἔξοχοι CDELS Lips. Rom. — 500 τὲ H. ἄρηος L. — 501 ἵεντ' CD Vrat. b. ἴεντ' A. — 503 ὃ μὲν C. ΟΜΕΝ Syr. — 504 κατα A. — 505 ἀπο AH. — 507 ῥῆξε δέ οἱ G Flor. Rom. δια CL. — 508 ἤφισ' L. ὃ δ' D. ὅδ' CGHL. — 509 δολιχόσκιον A. — 510 ἄρ ACDEGHL. — 512 οὐδ' ἄρ ἔτ' L. ὁρμηθῆναι Mor. Barocc.

---

A. c. 499 οὕτω διὰ τοῦ ν̄ ἔξοχον ἅπασαι Didymus. — 502 πρῶτος: ἡ Ἀριστοφάνους πρόσθεν, καὶ μήποτε βέλτιον· πρότερος γὰρ ἂν εἶπεν Didymus. — 510 ἄρ' ἔτ' ἄλλα: alii ἄρα τἆλλα teste Herodiano.

οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλοϲ οὔτ᾽ ἀλέαϲθαι.
τῷ ῥα καὶ ἐν ϲταδίῃ μὲν ἀμύνετο νηλεὲϲ ἦμαρ,
τρέϲϲαι δ᾽ οὐκέτι ῥίμφα πόδεϲ φέρον ἐκ πολέμοιο.
τοῦ δὲ βάδην ἀπιόντοϲ ἀκόντιϲε δουρὶ φαεινῷ
Δηίφοβοϲ· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲϲ αἰεί.
ἀλλ᾽ ὅ γε καὶ τόθ᾽ ἅμαρτεν, ὃ δ᾽ Ἀϲκάλαφον βάλε δουρί,
υἱὸν Ἐνυαλίοιο· δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχοϲ
ἔϲχεν· ὃ δ᾽ ἐν κονίῃϲι πεϲὼν ἕλε γαῖαν ἀγοϲτῷ.
οὐδ᾽ ἄρα πώ τι πέπυϲτο βριήπυοϲ ὄβριμοϲ Ἄρηϲ
υἷοϲ ἑοῖο πεϲόντοϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυϲέοιϲι νέφεϲϲιν
ἧϲτο Διὸϲ βουλῇϲιν ἐελμένοϲ, ἔνθά περ ἄλλοι
ἀθάνατοι θεοὶ ἦϲαν ἐεργόμενοι πολέμοιο.
οἳ δ᾽ ἀμφ᾽ Ἀϲκαλάφῳ αὐτοϲχεδὸν ὡρμήθηϲαν·
Δηίφοβοϲ μὲν ἀπ᾽ Ἀϲκαλάφου πήληκα φαεινὴν
ἥρπαϲε, Μηριόνηϲ δὲ θοῷ ἀτάλαντοϲ Ἄρηι
δουρὶ βραχίονα τύψεν ἐπάλμενοϲ, ἐκ δ᾽ ἄρα χειρὸϲ
αὐλῶπιϲ τρυφάλεια χαμαὶ βόμβηϲε πεϲοῦϲα.
Μηριόνηϲ δ᾽ ἐξαῦτιϲ ἐπάλμενοϲ αἰγυπιὸϲ ὣϲ
ἐξέρυϲε πρυμνοῖο βραχίονοϲ ὄβριμον ἔγχοϲ,
ἂψ δ᾽ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο. τὸν δὲ Πολίτηϲ,
αὐτοκαϲίγνητοϲ, περὶ μέϲϲῳ χεῖρε τιτήναϲ,
ἐξῆγεν πολέμοιο δυϲηχέοϲ, ὄφρ᾽ ἵκεθ᾽ ἵππουϲ
ὠκέαϲ, οἵ οἱ ὄπιϲθε μάχηϲ ἠδὲ πτολέμοιο
ἕϲταϲαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ᾽ ἔχοντεϲ·
οἳ τόν γε προτὶ ἄϲτυ φέρον βαρέα ϲτενάχοντα,
τειρόμενον· κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρόϲ.

---

V. L. 513 ἂρ ACDEGL. ἐπαΐξαι ACDEGHL Syr. — 515 τῶ ACHL Syr.: τῷ DEG. ῥὰ HL. ἧμαρ D. — 515 ΤΡЄϹϹЄ Syr. τρέϲαι E. — 516 τοῦδε D. — 517 ἔχε C 1. man. D Lips. ЄΧЄ Syr. — 518 ὃ δ᾽ D. ὅδ᾽ CGL. — 519 ὄμβριμον C. — 520 ὃ δ᾽ D. ὅδ᾽ CHL. — 521 πω L. πῶ CG. ὄμβριμοϲ CD ex corr. 2. man. H. ὀμβριμοϲ L. — 522 ἐνι A. — 523 ὅγ᾽ ἂρ CG. ὁ γὰρ A Lips. ΟΓᾺΡ Syr. ὃ γὰρ DHL, conf. Є 434. ὑπο AH. ЄΝῚ Syr. ἐπὶ Mor. χρυϲέοιϲ D. νέφεϲιν E. — 524 ἔνθά περ AC. ἐνθά περ DGL. — 526 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ΑΛΚΑΘΌΩΙ Syr. conf. 496. — 527 ἀπαϲκαλάφου H. — 531 ἐξ αὖτιϲ D. ἐξαῦθιϲ C. αἰγΰπτϊὸϲ H. ὡϲ A. — 532 ὄμβριμον CH. — 534 περι H. μέϲϲω ACEH. „nusquam μέϲϲῳ legitur" Heyne. — 535 ἐξῆγε CE Lips. Flor. — 536 οἱ om. D. — 537 ἔϲταϲαν L. ποικίλα χαλκῶ D et γρ. ἔχοντεϲ man. rec. — 538 πρὸ τὶ C. προϲτὶ G. — 539 κατα CHL. ἔρεε H. ἔρρει Vrat. A.

οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄϲβεϲτοϲ ὀρώρει.
ἔνθ' Αἰνέαϲ Ἀφαρῆα Καλητορίδην ἐπορούϲαϲ
λαιμὸν τύψ', ἐπὶ οἷ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωϲε κάρη, ἐπὶ δ' ἀϲπὶϲ ἑάφθη
καὶ κόρυϲ, ἀμφὶ δέ οἱ θάνατοϲ χύτο θυμοραϊϲτήϲ.
Ἀντίλοχοϲ δὲ Θόωνα μεταϲτρεφθέντα δοκεύϲαϲ
οὔταϲ' ἐπαΐξαϲ, ἀπὸ δὲ φλέβα πᾶϲαν ἔκερϲεν,
ἥ τ' ἀνὰ νῶτα θέουϲα διαμπερὲϲ αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶϲαν ἔκερϲεν· ὁ δ' ὕπτιοϲ ἐν κονίῃϲι
κάππεϲεν ἄμφω χεῖρε φίλοιϲ ἑτάροιϲι πετάϲϲαϲ.
Ἀντίλοχοϲ δ' ἐπόρουϲε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
παπταίνων· Τρῶεϲ δὲ περιϲταδὸν ἄλλοθεν ἄλλοϲ
οὔταζον ϲάκοϲ εὐρὺ παναίολον, οὐδὲ δύναντο
εἴϲω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῷ
Ἀντιλόχου· περὶ γάρ ῥα Ποϲειδάων ἐνοϲίχθων
Νέϲτοροϲ υἱὸν ἔρυτο καὶ ἐν πολλοῖϲι βέλεϲϲιν.
οὐ μὲν γάρ ποτ' ἄνευ δηίων ἦν, ἀλλὰ κατ' αὐτοὺϲ
ϲτρωφᾶτ'· οὐδέ οἱ ἔγχοϲ ἔχ' ἀτρέμαϲ, ἀλλὰ μάλ' αἰεὶ
ϲειόμενον ἐλέλικτο· τιτύϲκετο δὲ φρεϲὶν ᾗϲιν
ἤ τευ ἀκοντίϲϲαι, ἠὲ ϲχεδὸν ὁρμηθῆναι.
ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυϲκόμενοϲ καθ' ὅμιλον,
Ἀϲιάδην, ὅ οἱ οὖτα μέϲον ϲάκοϲ ὀξέι χαλκῷ

---

V. l. 541 ἔνθ' αἰνέαϲ AC 1. man. L Lips.: ἔνθ' αἰνείαϲ C 2. man. DEHS Townl. Vrat. b. A. Rom. αἰνείαϲ δ' (omisso ἔνθ') G. — 542 ἐπι A. ἐπί οἱ DG. τεταρμενον H 1. man. ὀξέϊ δουρὶ χαλκῷ H. — 543 ἐάφθη DGHLS Vrat. A. Cram. Ep. 168, 24. Apoll. Soph. 61, 30. Et. Mg. 307, 27. Et. Or. 64, 5. Zonar. Lex. 593: ἑάφθη ACE Townl. Lips. Rom. Suidas I, 2. 73, 10. — 544 ἀμφϊ H. χῦτο D. — 545 μεταϲτραφέντα L. 546 ἀπο CHL. ceteri ἀπὸ cum Aristot. Hist. anim. III, 3. — 548 ἀπο HL. ὁ δ' D. ὅδ' CGHL. κονίῃϲι ACEG. — 549 πετάϲαϲ CDEH Lips. — 550 δ' omitt. D. — 551 τρῷεϲ L. — 552 οὐδὲ δύναντο AEGS: οὐδ' ἐδύναντο CDHL Lips. Vrat. d. A. — 553 ἐπιγράψαι: ἐπιγνάψαι L. — 554 περὶ H. περι AC. πέρι DGL ῥα om. D. ποϲιδάων A. — 557 ἔχ' om. L. — 559 ἤ τεῦ H. ἀκοντίϲαι DEL Lips. Rom. Apoll. Soph. 153, 12. — 560 τιτυϲκόμενοϲ (ον superscr.) S. τιτυϲκόμενον L. — 561 ὅϲ οἱ ACDGHL: recentiores ὅ οἱ ex coni. οὖτα DH.

---

A. c. 541 ἔνθ' Αἰνέαϲ Herodianus cum Aristarcho: alii Αἰνείαϲ δ'. — 543 ἑάφθη Aristarchus, Trypho, Tyrannio, Herodianus: ἐάφθη Ammonius conf. Cram. Ep. 168, 15. H. T. 231. — 544 δέ οἱ: Π 514, 580 δέ μιν. — 546 ἀπὸ: Ζηνόδοτοϲ διὰ δὲ φλέβα Didymus. — 551 περιϲταδὸν: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ διὰ τοῦ ᾱ παραϲταδόν Didymus. — 561 ὅϲ οἱ: ὅ οἱ conf. α 300. γ 198. 308. ξ 3. φ 416. Ε 338. Ζ 90. Ν 211. ὅ οἱ Aristarchus α 300.

ἐγγύθεν ὁρμηθείϲ· ἀμενήνωϲεν δέ οἱ αἰχμὴν
κυανοχαῖτα Ποϲειδάων βιότοιο μεγήραϲ.
καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥϲ τε ϲκῶλοϲ πυρίκαυϲτοϲ
ἐν ϲάκει Ἀντιλόχοιο, τὸ δ' ἥμιϲυ κεῖτ' ἐπὶ γαίηϲ·
ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων.
Μηριόνηϲ δ' ἀπιόντα μεταϲπόμενοϲ βάλε δουρὶ
αἰδοίων τε μεϲηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιϲτα
γίγνετ' ἄρηϲ ἀλεγεινὸϲ ὀιζυροῖϲι βροτοῖϲιν.
ἔνθά οἱ ἔγχοϲ ἔπηξεν· ὃ δ' ἑϲπόμενοϲ περὶ δουρὶ
ἤϲπαιρ' ὡϲ ὅτε βοῦϲ, τόν τ' οὔρεϲι βουκόλοι ἄνδρεϲ
ἰλλάϲιν οὐκ ἐθέλοντα βίῃ δήϲαντεϲ ἄγουϲιν·
ὣϲ ὃ τυπεὶϲ ἤϲπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρά οἱ ἐκ χροὸϲ ἔγχοϲ ἀνεϲπάϲατ' ἐγγύθεν ἐλθὼν
ἥρωϲ Μηριόνηϲ· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
Δηίπυρον δ' Ἕλενοϲ ξίφεϊ ϲχεδὸν ἤλαϲε κόρϲην
Θρηικίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἡ μὲν ἀποπλαγχθεῖϲα χαμαὶ πέϲε, καί τιϲ Ἀχαιῶν
μαρναμένων μετὰ ποϲϲὶ κυλινδομένην ἐκόμιϲϲε·
τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχοϲ εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ' ἐπαπειλήϲαϲ Ἑλένῳ ἥρωι ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἄνελκε.

V. ι. 562 ἀμενήνωϲεν A. ἀμενήνωϲε CE. ἀμενοίνηϲεν L. — 563 ποϲιδάων A. μεγῆραϲ C. — 564 ϲκῶλον πυρίκαυϲτον Apoll. Soph. 143, 3. — 565 ϲάκεϊ D. ἐπι A. γαίηϲ ADEG: γαίῃ CHL Lips. Vrat. d. — 566 ἀλεείνον (ω) G. add D in marg. man sec. πάντοϲε παπταίνων μή τιϲ χρόα καλὸν ἐπαύρῃ, qui legitur 649. eundem add. Harl. in textu. — 568 τὲ C. μεϲϲηγὺ D Flor. Rom. — 569 γίγνετ' L: γίνετ' ACDEGH Schol. Soph. Ai. 253. Cram. Ep. 78, 4. Schol. Β 381. Δ 461. Et. Mg. 440, 35. Apoll. Soph. 41, 12. γίνεται Zon. Lex. 289. βροτοῖϲι Lips. Vrat. A. Flor. — 570 ἔνθά οἱ ACDGHL. ὃ δ' D. ὅδ' CGL. δ' ἑϲπόμενοϲ AC DEGHL Et. Gud. 508, 2. Cram. Ep. 392, 3. δὲ ϲπόμενοϲ Schol. Κ 246. δὲ ϲχόμενοϲ Apoll. Soph. 148, 13. Hesych. IV, 120. ἐν ἄλλῳ ὁ δὲ ϲχόμενοϲ A. conf. Μ 395. — 572 ἰλλᾶϲιν D. ἰθλάϲιν L. δήϲαντεϲ: δαμάϲαντεϲ Lips. — 573 ὡϲ A. ὃ ACDHL. ἔϲπαιρε H. — 574 ὄφρά οἱ ACDGHL. ἐκ χειρὸϲ DL (χερὸϲ). ἀνέϲπατ' C. — 575 τόνδε D. ὄϲϲε κάλυψε ACE Townl. Vrat. b. d. καλύψεν D. ὄϲϲ' ἐκάλυψε GH. ἐκάλυψεν L. — 576 ξίφει H. κορϲὺν L. — 577 ἀπο DHL. — 578 ἣ μὲν C. ἀποπλαχθεῖϲα Lips. Vrat. A. πέϲεν D. — 579 μετα A κυλινδουμένην HL ἐκόμιϲϲε ACDGHL. ἐκόμιϲε E. — 583 ὃ δὲ C. ἀνέλκε L. ἄνελκεν A. ἀνεῖλκε CD GH. ἀνεῖλκεν E.

A. c. 570 δ' ἑϲπόμενοϲ: τινὲϲ δὲ ϲχόμενοϲ ἀντὶ τοῦ ϲυνεχόμενοϲ Schol. BL.

τὼ δ᾽ ἄρ᾽ ὁμαρτήδην ὃ μὲν ἔγχεϊ ὀξυόεντι
ἵετ᾽ ἀκοντίϲϲαι, ὃ δ᾽ ἀπὸ νευρῆφιν ὀιϲτῷ.
Πριαμίδηϲ μὲν ἔπειτα κατὰ ϲτῆθοϲ βάλεν ἰῷ
θώρηκοϲ γύαλον, ἀπὸ δ᾽ ἔπτατο πικρὸϲ ὀιϲτόϲ.
ὡϲ δ᾽ ὅτ᾽ ἀπὸ πλατέοϲ πτυόφιν μεγάλην κατ᾽ ἀλῳὴν
θρῴϲκωϲιν κύαμοι μελανόχροεϲ ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆροϲ ἐρωῇ,
ὣϲ ἀπὸ θώρηκοϲ Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶϲ ἑκὰϲ ἔπτατο πικρὸϲ ὀιϲτόϲ.
Ἀτρείδηϲ δ᾽ ἄρα χεῖρα, βοὴν ἀγαθὸϲ Μενέλαοϲ,
τὴν βάλεν, ᾗ ῥ᾽ ἔχε τόξον ἐύξοον· ἐν δ᾽ ἄρα τόξῳ
ἀντικρὺ διὰ χειρὸϲ ἐλήλατο χάλκεον ἔγχοϲ.
ἂψ δ᾽ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ᾽ ἀλεείνων,
χεῖρα παρακρεμάϲαϲ· τὸ δ᾽ ἐφέλκετο μείλινον ἔγχοϲ.
καὶ τὸ μὲν ἐκ χειρὸϲ ἔρυϲεν μεγάθυμοϲ Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδηϲεν ἐυϲτρεφεῖ οἰὸϲ ἀώτῳ,
ϲφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείϲανδροϲ δ᾽ ἰθὺϲ Μενελάου κυδαλίμοιο
ἤιε· τὸν δ᾽ ἄγε μοῖρα κακὴ θανάτοιο τέλοϲ δέ,
ϲοὶ Μενέλαε δαμῆναι ἐν αἰνῇ δηιοτῆτι.
οἳ δ᾽ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾽ ἀλλήλοιϲιν ἰόντεϲ,
Ἀτρείδηϲ μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχοϲ,
Πείϲανδροϲ δὲ ϲάκοϲ Μενελάου κυδαλίμοιο
οὔταϲεν, οὐδὲ διὰ πρὸ δυνήϲατο χαλκὸν ἐλάϲϲαι·

---

V. L. 584 ἆρ AGD. ὁμαρτήτην ACDEGHLS Hesych. I, 139. ὃ CG. — 585 ἵετ᾽ DH Vrat. d. ἱετ᾽ A. ἀκοντίϲαι CEG Flor. Rom. ὃ δ᾽ D. ὅδ᾽ CGL. ἀπο A. ἀπαὶ L. νευρῆφιν CEGL. — 587 ἀπο CDH. δία δ᾽ ἔπτατο L, conf. Ε 99. — 588 ἀπο A. ἀλωιὴν A. ἀλωῇν G. καθ᾽ ἀλωὴν S. — 589 θρῴϲκωϲιν A. θρώϲκωϲιν DL. θρώϲκωϲι E Cant. Lips. Vrat. b. ex em. A. θρώϲκουϲιν H Athen. II, 54. θρῴϲκουϲι Cram. Epim. 203, 21. θρώϲκουϲι CG Flor. — 590 ὑπο A. ὑπὸ CDEGH. ὑπαὶ LS Cant. λυγρῇ Vrat. b. — 591 ὡϲ A. — 592 ἀποπλαχθεὶϲ Vrat. b. d. A. Lips. — 594 ᾗ: ἢ CGHS conf. Eust. 948, 54. τόξῳ: χαλκῷ H Vrat. d. — 595 δια A. — 597 χάλκεον ἔγχοϲ Vrat. A. Flor. — 598 ἔρυϲϲε D. — 599 ἐϋϲτρόφῳ ACEGHLS. εὐϲτρόφωι D. — 602 τέλοϲ δὲ A. — 604 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ἰόντε G. — 605 παραὶ: παρὰ GL Lips. Vrat. A. Flor. — 607 διὰ πρὸ G Schol. Β 382. Υ 265. δϊαπρο C. ceteri διαπρὸ. ἐλάϲαι D.

---

A. c. 584 ἀρίϲταρχοϲ ὁμαρτήδην ὡϲ τμήδην Didymus. — 588 ἀλῳὴν conf. H. U. 212. — 589 θρῴϲκωϲιν conf. H. U. 217. — 594 οὕτωϲ ἀρίϲταρχοϲ ἧι ῥ᾽ ἔχε Didymus. — 599 ἀρίϲταρχοϲ ἐϋϲτρεφεῖ ὡϲ ἀπὸ τοῦ ἐϋϲτρεφέϲ Didymus, conf. Ν 716. Ο 463. φ 408.

ἔϲχεθε γὰρ ϲάκοϲ εὐρύ, κατεκλάϲθη δ᾽ ἐνὶ καυλῷ
ἔγχοϲ· ὃ δὲ φρεϲὶν ᾗϲι χάρη καὶ ἐέλπετο νίκην.
Ἀτρείδηϲ δὲ ἐρυϲϲάμενοϲ ξίφοϲ ἀργυρόηλον
ἆλτ᾽ ἐπὶ Πειϲάνδρῳ· ὃ δ᾽ ὑπ᾽ ἀϲπίδοϲ εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
μακρῷ ἐυξέϲτῳ· ἅμα δ᾽ ἀλλήλων ἐφίκοντο.
ἤ τοι ὃ μὲν κόρυθοϲ φάλον ἤλαϲεν ἱπποδαϲείηϲ
ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προϲιόντα μέτωπον
ῥινὸϲ ὕπερ πυμάτηϲ· λάκε δ᾽ ὀϲτέα, τὼ δέ οἱ ὄϲϲε
πὰρ ποϲὶν αἱματόεντα χαμαὶ πέϲον ἐν κονίῃϲιν.
ἰδνώθη δὲ πεϲών· ὃ δὲ λὰξ ἐν ϲτήθεϲι βαίνων
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενοϲ ἔποϲ ηὔδα·
    λείψετέ θην οὕτω γε νέαϲ Δαναῶν ταχυπώλων
Τρῶεϲ ὑπερφίαλοι, δεινῆϲ ἀκόρητοι ἀυτῆϲ.
ἄλληϲ μὲν λώβηϲ τε καὶ αἴϲχεοϲ οὐκ ἐπιδευεῖϲ,
ἣν ἐμὲ λωβήϲαϲθε, κακαὶ κύνεϲ, οὐδέ τι θυμῷ
Ζηνὸϲ ἐριβρεμέτεω χαλεπὴν ἐδείϲατε μῆνιν
ξεινίου, ὅϲ τέ ποτ᾽ ὔμμι διαφθέρϲει πόλιν αἰπήν.
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ

---

V. ι. 608 ἔϲχεθε: ἔϲχετο EHLS. γρ. ἔϲχετο A. ἐνι A. — 609 ἐέλπετο AG: ἔλπετο CDEHL SMor. Vrat. A. Flor. fortasse recte. — 611 ἆλτ᾽ C. ὃ δ᾽ D. ὅδ᾽ CHL. — 612 ἐΰχαλκον G: cet. εὔχαλκον. ἀμφι GL. πελέκωι CDL. $\overset{ει}{\text{πελέκκω}}$ S. — 613 εὐξέϲτω L. ἐφίκοντο: ἀφίκοντο H Eust. 949, 60. — 614 ἤλαϲεν om. C, in quo man. rec. δεινὸν ante φάλον inseruit. — 615 ὑπο A. ὑπαὶ GL. ὑπὲρ Apoll. Soph. 109, 5. Et. Mg. 570, 7. ὃ δὲ C. μέτοπον G. — 616 ὕπερ A. ὑπὲρ CDEHL Apoll. Soph. 139, 2. Et. Mg. 704, 25. τώδε G. — 617 παρ AD. αἱματόεντα libri mei cum Cant. Mor. Lips. Harl. Vratt. Flor.: αἱματόεντε R Eust. 950, 15. αἱματόεντα ἢ αἱματόεντε, γράφεται γὰρ ἀμφοτέρωϲ Eust. 950, 14. — 618 ὃ δὲ C. — 619 ἐξενάριξεν D. ἐξενάρηξε καὶ οἰχόμενοϲ G. ηὖδα D. — 620 λείψετε θὴν D. — 621 τρῷεϲ L. — 622 αἴϲχαιοϲ G. — 623 $\overset{ε}{\text{λωβήϲαϲθαι}}$ G. κακαὶ ACDEGL: κακοὶ HS Mor. Vrat. A. conf. Ρ 127. 255. Ϲ 179. Ω 409. τ 372. υ 14. — 624 ἐδδείϲατε libri. — 625 ὅϲ τέ CDHL. δϲ τέ E. ceteri ὅϲτε. ποθ᾽ ὔμμι DH Townl. πόλιν αὐτήν C Lips. γρ. αἰπήν Lips. — 626 κτήματα πολλά: ἐν ἄλλῳ καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ A.

---

A. c. 608 ἔϲχεθε conf. Λ 96. Μ 184. Υ 398. — 609 καὶ ἐέλπετο: ζηνόδοτοϲ μέγα δ᾽ ἤλπετο νίκην Didymus. — 610 ξίφοϲ ἀργυρόηλον: χείρεϲϲι μάχαιραν Zenodotus. — 613 ἐφίκοντο: οὕτωϲ ἀρίϲταρχοϲ. ἄλλοι δὲ αφικεϲθ (sic) ἀριϲτοφάνηϲ αφικεϲθ΄ (sic) Didymus. quid Aristophanes scripserit ἀφικέϲθην an ἐφικέϲθην, quod Schol. V exhibet, non liquet. — 617 δυϊκῶϲ τὸ αἱματόεντε Schol. BL. πέϲον: οὕτω διὰ τοῦ ο̄ ὁ πέϲον Didymus. ita Aristarchus, conf. H. T. 384.

μὰψ οἴχεϲθ' ἀνάγοντεϲ, ἐπεὶ φιλέεϲθε παρ' αὐτῇ·
νῦν αὖτ' ἐν νηυϲὶν μενεαίνετε ποντοπόροιϲι
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωαϲ Ἀχαιούϲ.
ἀλλά ποθι ϲχήϲεϲθε, καὶ ἐϲϲύμενοί περ, ἄρηοϲ.
Ζεῦ πάτερ, ἦ τέ ϲέ φαϲι περὶ φρέναϲ ἔμμεναι ἄλλων,
ἀνδρῶν ἠδὲ θεῶν· ϲέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεϲϲι χαρίζεαι ὑβριϲτῇϲι,
Τρωϲίν, τῶν μένοϲ αἰὲν ἀτάϲθαλον, οὐδὲ δύνανται
φυλόπιδοϲ κορέϲαϲθαι ὁμοιίου πολέμοιο.
πάντων μὲν κόροϲ ἐϲτί, καὶ ὕπνου καὶ φιλότητοϲ
μολπῆϲ τε γλυκερῆϲ καὶ ἀμύμονοϲ ὀρχηθμοῖο,
τῶν πέρ τιϲ καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶεϲ δὲ μάχηϲ ἀκόρητοι ἔαϲιν.
ὣϲ εἰπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸϲ αἱματόεντα
ϲυλήϲαϲ ἑτάροιϲι δίδου Μενέλαοϲ ἀμύμων,
αὐτὸϲ δ' αὖτ' ἐξαῦτιϲ ἰὼν προμάχοιϲιν ἐμίχθη.
ἔνθά οἱ υἱὸϲ ἐπᾶλτο Πυλαιμένεοϲ βαϲιλῆοϲ,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίξων
ἐϲ Τροίην, οὐδ' αὖτιϲ ἀφίκετο πατρίδα γαῖαν·
ὅϲ ῥα τότ' Ἀτρείδαο μέϲον ϲάκοϲ οὔταϲε δουρὶ
ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήϲατο χαλκὸν ἐλάϲϲαι·

---

V. L. 627 παρ' (ε superscr.) A et in lemmate περ. παρ' αὐτῆϲ DS. — 628 νῦν δ' H Vrat d. νηυϲὶ DE Lips. Vrat. A. ποντοπόροιϲι ACEG. — 630 ϲχήϲεϲθαι G. — 631 τέ ϲε φαϲὶ ACDGHL. πέρι HL. φρένα L. — 633 ὑβριϲτῇϲι ACDEGH. ὑβριϲτῆρϲι Lips. — 634 τρωϲὶν L. τρωϲῖ CD. τῶν: ὧν E. — 635 κορέϲαϲθαι καὶ DELS. ὁμοίοιο Vrat. A. πτολέμοιο DH, quod succurrit scripturae ὁμοιίοο. — 637 τὲ H. — 638 τῶν κεν (ητ superscr.) Lips. ὧν περ R. ἔξερον CDG. εἶναι CDGH. — 639 ἀκόρεϲτοι L. — 640 ὡϲ A. ἔντεα G Flor. Rom. — 641 ἑτάροιϲ ἐδίδου C. — 642 αὖ H. αὖτ' omitt. DL Townl. Vrat. A. ἐξαῦθϊϲ C. — 643 ἔνθά οἱ ACDGL. ἔπαλτο S. πυλαιμένεοϲ A. — 644 ὃϲ ῥὰ D. ὅϲ ῥα Flor. Rom. ἕϲπετο ES Lips. πτολεμίξων Lips. adnotante Heynio, sed Ernestius ex Lips. πολεμίζων affert, cui magis fidem habeo. πτολεμίζων ACDG. πολεμίζων EHLS Townl. γρ. πολεμίζειν Lips. — 645 αὖθϊϲ C. hunc versum omitt. Townl. 1. man. — 646 ἀτρείδεω Townl. — 647 διὰ προ G. δϊαπρο CD. ceteri διαπρὸ. ἐλάϲαι D.

---

A. c. 627 οἴχεϲθ' ἀνάγοντεϲ: οἴχεϲθον ἄγοντεϲ Zenodotus. παρ': διχῶϲ αἱ ἀριϲτάρχου καὶ διὰ τοῦ ε̄ (περ) Didymus. — 637 περιϲϲὸν αὐτὸν εἶναι φαϲί τινεϲ Schol. AV. — 644 πτολεμίξων, conf. λ 493 ἕπετ' ἐϲ πόλεμον. variant libri inter πολεμίξω et πολεμίζω etiam B 328. K 451. O 179. Ω 667.

ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων,
πάντοϲε παπταίνων, μή τιϲ χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνηϲ δ' ἀπιόντοϲ ἵει χαλκήρε' ὀιϲτόν,
καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀιϲτὸϲ
ἀντικρὺ κατὰ κύϲτιν ὑπ' ὀϲτέον ἐξεπέρηϲεν.
ἑζόμενοϲ δὲ κατ' αὖθι, φίλων ἐν χερϲὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥϲ τε ϲκώληξ ἐπὶ γαίῃ
κεῖτο ταθείϲ· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνεϲ μεγαλήτορεϲ ἀμφεπένοντο,
ἐϲ δίφρον δ' ἀνέϲαντεϲ ἄγον προτὶ Ἴλιον ἱρὴν
ἀχνύμενοι· μετὰ δέ ϲφι πατὴρ κίε δάκρυα λείβων,
ποινὴ δ' οὔ τιϲ παιδὸϲ ἐγίγνετο τεθνηῶτοϲ.
τοῦ δὲ Πάριϲ μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνοϲ γάρ οἱ ἔην πολέϲιν μετὰ Παφλαγόνεϲϲι·
τοῦ ὅ γε χωόμενοϲ προΐει χαλκήρε' ὀιϲτόν.
ἦν δέ τιϲ Εὐχήνωρ, Πολυίδου μάντιοϲ υἱόϲ,
ἀφνειόϲ τ' ἀγαθόϲ τε, Κορινθόθι οἰκία ναίων,
ὅϲ ῥ' εὖ εἰδὼϲ κῆρ' ὀλοὴν ἐπὶ νηὸϲ ἔβαινε.
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸϲ Πολύιδοϲ,
νούϲῳ ὑπ' ἀργαλέῃ φθίϲθαι οἷϲ ἐν μεγάροιϲιν,

V. L. 648 χάζετο S. — 650 ἵει A. — 651 ἔβαλεν D Vrat. A. κατα AH. κατὰ DEL. — 652 κατα H. διὰ A. — 653 καταῦθι L. — 654 ἐπι A. — 657 δ' omitt. A. προτὶ ACDGHL: ποτὶ S. — 658 μετὰ: παρὰ
ηι
Schol. Є 576. — 659 ἐγίγνετο L: ἐγίνετο ACDEGH. γίνετο S. τεθνειῶτοϲ A. τεθνειῶτοϲ CDGS. τεθνεῶτοϲ H. — 660 τοῦδε D. — 661 πολέϲι Lips. μετα D. παφλαγόνεϲϲι ACD 2. man. G. μυρμιδόνεϲϲιν D 1. man. conf. Π 240. — 662 χωόμενον G. — 663 πολυΐδου ACDEGHL et Heynii libri. Et. Mg. 400, 10. Cram. An. Par. I, 285, 6: πολυείδου S Syr. Schol. Pind. Ol. XIII, 78 et 81. Πολύιδοϲ ὁ κατὰ τὴν γραφὴν τῆϲ παραληγούϲηϲ διφορούμενοϲ Eust. 937, 49. conf. 953, 27. μάντεοϲ L. — 665 ἔβαινε ACDEGH Syr. — 666 πολλάκιϲ E. πολύϊδοϲ ACDEGHL. ΠΟΛΥΕΙΔΟϹ Syr. πολυείδηϲ S. — 667 φθῖϲθαι A. φθεῖϲθαι CH Vrat. b. d. ΦΘΊϹΘΑΙ Syr. cum ceteris.

A. c. 657 ἀνέϲαντεϲ: ἀναθέντεϲ Apollon. Rhodius. ἀθετεῖται Schol. BL. — 658, 659 ἀθετοῦνται. εἰ δὲ μένοιεν οἱ ϲτίχοι οὗτοι, νοητέον ὁμωνυμίαν εἶναι Aristonicus. Ἀριϲτοφάνηϲ ἀθετεῖ Schol. V. ἔνιοι δὲ πιθανῶϲ μεταγράφουϲι „μετὰ δ' οὔ ϲφι πατὴρ κίε" Schol. AD. — 662 ἁπλοῦϲ ὁ ϲτίχοϲ ἐϲτὶ καὶ ἀποίκιλοϲ Schol. BL. — 663 Πολυίδου: Πολύϊδοϲ· οὕτωϲ καὶ Ἀπολλώνιοϲ ὁ τοῦ Ἀρχιβίου, καὶ ἔϲτι, φηϲί, πολυίδμων μάντιϲ ὤν. οὕτωϲ δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται ὑπὸ Ἀριϲτοφάνουϲ· μαρτυρεῖ δὲ καὶ Φιλόξενοϲ, καὶ Ϲοφοκλῆϲ δ' ἐν Μάντεϲι ϲυνέϲτειλεν „ὁρῶ πρόχειρον Πολυΐδου τοῦ μάντεωϲ" καὶ πάλιν „οὐκ ἔϲτιν εἰ μὴ Πολυίδῳ τῷ κοιράνῳ". conf. Et. Mg. 681, 22. Et. Gud. 474, 24. Є 148.

ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
τῶ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ' οὐκ ἐπέπυστο διίφιλος, οὐδέ τι ᾔδη,
ὅττί ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηιόωντο
λαοὶ ὑπ' Ἀργείων· τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος ἐννοσίγαιος
ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων,
ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου
θῖν' ἔφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
ζαχρηεῖς γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοὶ
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδὲ δύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
οἳ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
ἦρχ' υἱὸς Πετεῶο Μενεσθεύς, οἳ δ' ἅμ' ἕποντο
Φείδας τε Στιχίος τε Βίας τ' ἐύς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης Ἀμφίων τε Δρακίος τε,

V. l. 668 ἠὲ μετ' D. ὑπο H. τρῴεσσι L. — 669 τῶ ACGHL Syr.: τῷ DE. θωιὴν AC. — 670 νοῦσον τὲ C. πάθοι: πάθῃ E bis Lips. πάθη S. — 671 ὑπο A. — 672 ἀπο A. ἀπαὶ L. στυγερὸν S. ἄρά G. — 673 ὡς A. οἳ μὲν C. — 674 διῒ φίλος ACDHL. ΔΙΙΦΙΛΟΣ Syr. δὴ φίλος G. ἤδη ADH. ΗΔΗ Syr. ᾔδη L. ᾔδει CG Cant. Vrat. b. 1. man. A. — 675 ἐπαριστερὰ A. — 678 ΠΡΟΣΘΕΝΕΙ Syr. — 679 ταπρῶτα C post ras. L. ἐσἄλτο G. ἐπᾶλτο Vrat. b. — 680 πυκνὰς Lips. Vrat. A. — 681 αἴαντος νῆες Vrat. d. πρωτεσιλάου A. — 682 ὕπερθε ACDG Syr. — 683 δέδμητο Townl. — 684 ζαγρηεῖς G. γίγνοντο L: γίνοντο ACDGH Syr. ἐγίνοντο E. ΜΑΧΗΣ Syr. μάχαι S. — 685 ἑλκεχίτωνες A. — 686 φθίοι ADG. Αἴπειοἱ E. — 687 οὐδὲ δύναντο ACEHLS Lips. ΟΥΔΕΔΥΝΑΝΤΟ Syr. vulgo οὐδ' ἐδύναντο. — 688 ἀπο AD. ἵκιλον E. ἴκελον G. — 690 οἳ δ' D. οἵδ' CHL. — 691 στιχίος ACEH. στιχῖος D. στίχιός L. στίχός τε G (sic). — 692 μέγης τ' Vrat. A. δρακίος ACDEH. δράκιός GL.

A. c. 692 οὕτω μέγης ἔξω τοῦ τε· οὐ γάρ ἐστι φυλείδης Didymus. Zenodotum Μέγης τ' scripsisse docemur ab Aristonico ad K 174.

πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε Ποδάρκης.
ἤ τοι ὃ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀιλεύς·
αὐτὰρ ὃ Ἰφίκλοιο πάις τοῦ Φυλακίδαο·
οἳ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ' οὐκέτι πάμπαν, Ὀιλῆος ταχὺς υἱός,
ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, οὐδ' ἠβαιόν,
ἀλλ' ὥς τ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον
ἶσον θυμὸν ἔχοντε τιταίνετον· ἀμφὶ δ' ἄρά σφι
πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
τὼ μέν τε ζυγὸν οἶον ἐύξοον ἀμφὶς ἐέργει
ἱεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλσον ἀρούρης·
ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιιν.
ἀλλ' ἤ τοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀιλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,

---

V. L. 693 προ AD. φθίων τε G. φθίων τὲ S. — 696 ἀπὸ ACH Syr. — 697 μητρυῆς D. — 698 ὃ CDGHL. ἐφίκλοιο G. — 699 οἳ μὲν C. προ AD. — 701 ταχὺς αἴας D et man. rec. υἱός. — 702 ἠδ' ἠβαιόν G. — 704 ἀμφι AD. σφι ACEH Syr. — 705 πρυμνοῖσι D Lips. Vrat. A. πολὺς δ' HS. ἀν$\overset{α}{ε}$κηκίει A. ἀνεκήκιεν HLS Syr. Vrat. b. d. ἀνακηκίῃ Mor. — 706 ζυγὸς οἶος ἐΰξοος Vrat. A. οἶον D. εὔξοον H. — 707 ἵεμένω H. ἱεμένων Schol. Apoll. Rhod. II, 396. καταῶλκα A. τέμει ACGH 1. man. Harl. Vrat. d.: τέμνει DEH ex corr. LS Syr. et Heynii libri cum Apoll. Soph. 170, 31. — 708 ὡς A. πὰρ βεβαῶτε E Rom. ἔστασαν AEGL. ἀλλήλοιιν ACDE: ἀλλήλοισιν GHLS Syr. Harl. Vrat. d. — 709 libri ἤτοι. — 710 ἄλλοι ἕπονθ' HL. ΟΙΟΙ Syr. — 711 γοῦνα θ' G. ἵκητο E. — 712 αρ A. ἆρ EGHL. ἄρα νηληϊάδηι D (sic). — 713 σφι: σφιν CE 956, 19. H. οὐδ' ἄρ σφιν Harl. σταδίης ὑσμίνης ἔργα μέμηλεν (corr. μεμήλει) Strabo X, 449. κῆρ: ΗΤΟΡ Syr. — 715 ἐϋκύκλους C.

---

A. c. 702 Ζηνόδοτος χάζετ' ἀπ' αἴαντος Didymus. — 705 χωρὶς τοῦ ν̄ ἀνεκηκίει (sic) καὶ διὰ τοῦ ῑ Didymus. πολὺς δ' ἀνακηκίει: χωρὶς τοῦ δὲ αἱ πᾶσαι Schol. V. — 712 οὐδ' ἄρ' Ὀιλιάδῃ: ἀλλ' οὐκ Ἰλιάδῃ Zenodotus, conf. M 365. H. T. 322. — 713 οὕτως ἀρίσταρχος χωρὶς τοῦ ν̄ σφι, ἀριστοφάνης δὲ σὺν τῷ ν̄ Didymus.

ἀλλ᾽ ἄρα τόξοιcιν καὶ ἐυcτρεφεῖ οἰὸc ἀώτῳ
Ἴλιον εἰc ἅμ᾽ ἕποντο πεποιθότεc, οἷcιν ἔπειτα
ταρφέα βάλλοντεc Τρώων ῥήγνυντο φάλαγγαc.
δή ῥα τόθ᾽ οἳ μὲν πρόcθε cὺν ἔντεcι δαιδαλέοιcι
μάρναντο Τρωcίν τε καὶ Ἕκτορι χαλκοκορυcτῇ,
οἳ δ᾽ ὄπιθεν βάλλοντεc ἐλάνθανον· οὐδέ τι χάρμηc
Τρῶεc μιμνήcκοντο· cυνεκλόνεον γὰρ ὀιcτοί.
ἔνθά κε λευγαλέωc νηῶν ἄπο καὶ κλιcιάων
Τρῶεc ἐχώρηcαν προτὶ Ἴλιον ἠνεμόεccαν,
εἰ μὴ Πουλυδάμαc θραcὺν Ἕκτορα εἶπε παραcτάc·
Ἕκτορ, ἀμήχανόc ἐccι παραῤῥητοῖcι πιθέcθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸc πολεμήια ἔργα,
τοὔνεκα καὶ βουλῇ ἐθέλειc περιίδμεναι ἄλλων.
ἀλλ᾽ οὔ πωc ἅμα πάντα δυνήcεαι αὐτὸc ἑλέcθαι.
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸc πολεμήια ἔργα·
[ἄλλῳ δ᾽ ὀρχηcτύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·]
ἄλλῳ δ᾽ ἐν cτήθεccι τιθεῖ νόον εὐρύοπα Ζεὺc
ἐcθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίcκοντ᾽ ἄνθρωποι,
καί τε πολέαc ἐcάωcε, μάλιcτα δὲ καὐτὸc ἀνέγνω.

---

V. L. 716 τόξοιcι E Strabo. ἐυcτρεφεῖ: libri ἐυcτρόφῳ cum Schol. Δ 90 et Strabone. εὐcτρόφῳ HL, conf. 599. — 717 οἷcι μάλιcτα L Rom. — 718 τρῴων L. — 719 δὴ ῥὰ DL. δή ῥα τόθ᾽ οἱ μέν: οἱ μὲν γὰρ E. οἳ μὲν C. δαιδαλέοιcι ACEG Syr. — 720 τρῳcὶν L. τρωcὶ D Lips. — 721 οἳ δ᾽ DL. οἵδ᾽ CH. ὄπιθε E. ὄπιcθεν D Flor. ΟΥΔ᾽ ЄΤΙ Syr. — 722 τρῷεc L. μημνίcκοντο G. — 723 ἔνθά κε ACDGHL. ἄπο, καὶ G. ἄπο etiam ACHL Syr. ἀπο D. — 724 τρῷεc L. ποτὶ F. — 725 πουλϊδάμαc G. — 726 ἀμήχανοc ἐccὶ L. παραρητοῖcι G Syr. Townl. — 727 πέρι EGL. περϊ CDH. — 728 πέρι ἴδμεναι L. περὶ ἴδμεναι S. περιέμμεναι Mor. Barocc. περιέμμεναι ἢ περιίδμεναι E 956, 36. — 729 πάντα θεοὶ δόcαν ἀνθρώποιcιν Schol. Δ 320. — 730 omitt. G. ἔδωκε: δῶκε L. — 731 omitt. ACDEHS Vrat. d. Townl. 1. man. Schol. Δ 320. Schol. Pind. Ol. IX, 158. Pseudoplut. 146, 39: habent D et H in marg. man. rec. GL Lips. Vrat. A. Lucianus XXXIII, 23. Clemens Alexandr. Strom. IV, 21 § 135. — 732 τίθει S Schol. Pind. Ol. IX, 158. Pseudopl. 79, 23. τιθεῖ ἢ τίθει E. νόον τίθει Townl. — 734 πολέαc: πολεῖc CHS Lips. Harl. Vrat. A. Flor. Rom. πόλειc DG Pseudopl. 79, 23; 146, 39. πολεῖc ἢ πόλειc E. ἐcάωcεν D. δέ κ᾽ αὐτὸc ACHL Schol. Υ 311. δὲ κ᾽ αὐτὸc E. δεκαὐτὸc D. δ᾽ ἐκ αὐτὸc G.

---

A. c. 716 ἐυcτρεφεῖ Aristarchus, conf. ad 599. — 731 Ζηνόδοτοc ὁ Μαλλώτηc προcτίθηcιν Schol. V, conf. Eust. 957, 10. — 732 τιθεῖ νόον: νόον τιθεῖ. οὕτωc Ἀριcτοφάνηc Schol. V. — 733 πολλοί: ἀριcτοφάνηc πολλὸν Didymus. — 734 πολεῖc Herodianus: alii πόλειc. restitui cum Wolfio et Bekkero formam genuinam πολέαc, etiam Ο 66. Υ 313. Φ 59. 131 in πολεῖc corruptam. δέ κ᾽ αὐτὸc Aristarchus teste Schol. Υ 311, sed conf. Ariston. ad h. l. ὅτι κατὰ cυναλοιφὴν ἐκλη-

αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἳ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἳ δὲ μάχονται
παυρότεροι πλεόνεσσι κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐνὶ νήεσσι πολυκλήισι πέσωμεν,
αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθωμεν ἀπήμονες. ἦ γὰρ ἐγώ γε
δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἅτος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀίω.
ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,
[αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,]
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.
ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώς,

---

V. L. 735 ἄριστα: ἄριστον Barocc. Mor. ἄριστον ἢ ἄριστα E. — 736 libri πάντη cum Et. Mg. 253, 3: πάντῃ E Apoll. Soph. 144, 29. Athenaeus I, 18. περὶ: περϊ CDL. πέρι Et. Mg. 253, 3. δέδηε ACDEG HL Apoll. Soph. Et Mg. l. l. δέδηεν Eust. 958, 2. — 737 τρῷες L. δὲ: δὴ Rom. δ' αὖ Vrat. b. — 738 οἳ μὲν C. ἀφεστᾶσι DE Lips. Vrat. A.
c
Flor. συν A. οἳ δὲ C. — 741 δὲ μάλα S. ἐπιφρασαίμεθα C. ἐπιφρασσοίμεθα Vrat. A. — 742 ἐνι A. ἐν L. νήεσσιν D. πολῠκλΐηισϊ C. πολυκληῖσι G. πέσοιμεν E bis. — 743 ἧκ' Mor. εἴ κ' Barocc. κε θέλῃσι H. — 744 παρ ACD. ἔλθοιμεν CDEH. ἡ γὰρ H. ἦ γὰρ ἂν ἔγωγε L. ἔγωγε libri omnes. — 745 ἀποστήσωνται AE Townl. Rom. Apoll. Soph. 39, 11. Hesych. I, 158. Et. Mg. 725, 15. Zonar. Lex. 271. ἀποστήσονται Cram. Epim. 119, 18; 280, 16: ἀποτίσωνται CGHL Cant. Harl. Lips. Vrat. A. Flor. Schol. BV. ἀποτίσονται DS Vrat. d. ὑποστήσονται Ammon. de Diff. s. μητρεῖσθαι. — 746 παρα A. πὰρ L. ἄτος C. — 748 ὡς A. ἅδε: ἄδε DE 957, 7. G. utrumque Eust. 958, 31. — 749 omitt. AH in textu Vrat. d.: habent CDGH in marg. man. rec. LS. ἆλτο C. χαμάζε CGL. —
ν
750 προσηῦδα D. — 751 ἐρύκακε G. ἐρύρακε L. — 753 αὖθϊς C. εὖ omitt. C, in quo add. man. rec. καὶ. — 754 ῥὰ CDGHL. νεφόεντι D (ε a 2. man.).

---

A. c. πτέον, ἵνα διαιρῆται, μάλιστα δὲ καὶ αὐτός. G. Hermannus Opusc. IV, 21 δέ τ' αὐτός, quem secutus est Bekkerus coll. Ζ 185. conf. H. U. 286. — 751 Πουλυδάμαν Zenodotus et Chamaeleo, conf. Μ 231. Ξ 470.

κεκληγώς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὃ Δηιφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον, Ὑρτάκου υἱόν,
φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
ἀλλ' οἳ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
οἳ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠυκόμοιο,
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
  Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
ποῦ τοι Δηίφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος, Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
  τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδέ με πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
νωλεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.

V. l. 755 δια A. τρώων L. πέτετο καὶ ἐπικούρων E. — 756 οἱ δ' D. οἵδ' CL. οἱ δ' ἐπὶ Mor. οἱ δ' ἐπανθοίδην H Townl. — 757 ἤκουον αὐδὴν Vrat. b. — 758 ὁ ACDGHL. — 760 ἀνα L. ὅπου ἐφεύροι H. — 762 ἐπι AD. ἐπὶ CGHL. πρύμνῃσιν omnes. — 763 κέατο: κέαται C Et. Gud. 309, 4 et 5. — 764 οἵδ' CHL. — 767 θρασύνονθ' H. — 768 ἐπέεσσι ACDH. — 769 γυναικομανὲς L. — 771 τ' omitt. H. — 772 ὤλετο: ᾤχετο Bekk. Anecd. 937, 9. ἄκρας Cram. An. Ox III, 376, 3. — 773 σῶς non σόος omnes. σοι αἰπὺς S. — 775 τοι: σοι Eust. 959, 18. — 776 ἐρωήσειν Harl. πτολέμοιο G. — 777 οὐδέ με ACLS Flor.: vulgo οὐδ' ἐμέ. — 778 ἐξοῦ G. — 779 ἐκ τοῦ δ': vulgo ἐκ τοῦδ', conf. O 69 ἐκ τοῦ δ' ἄν τοι τεύχοιμι. α 212 ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον. θ 540 ἐκ τοῦ δ' οὔ πω παύσατ'. ἡμεῖς ἐνθάδε ὄντες ὁμιλέομεν Et. Gud. 427, 47. — 780 δε D. κατέκταθον Lips.

A. c. 772 κατ' ἄκρης: alii κατὰ κρῆς, conf. Schol. A τινὲς δὲ κρῆς μονοσυλλάβως, ἐπεὶ καὶ κρῆθέν φησιν.

οἴω Δηίφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
οἴχεϲθον μακρῆϲι τετυμμένω ἐγχείηϲιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ', ὅππη ϲε κραδίη θυμόϲ τε κελεύει·
ἡμεῖϲ δ' ἐμμεμαῶτεϲ ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
ἀλκῆϲ δευήϲεϲθαι, ὅϲη δύναμίϲ γε πάρεϲτι.
πὰρ δύναμιν δ' οὐκ ἔϲτι, καὶ ἐϲϲύμενον, πολεμίζειν.
ὣϲ εἰπὼν παρέπειϲεν ἀδελφειοῦ φρέναϲ ἥρωϲ.
βὰν δ' ἴμεν ἔνθα μάλιϲτα μάχη καὶ φύλοπιϲ ἦεν,
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμύν τ' Ἀϲκάνιόν τε Μόρυν θ', υἷ' Ἱπποτίωνοϲ,
οἵ ῥ' ἐξ Ἀϲκανίηϲ ἐριβώλακοϲ ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺϲ ὦρϲε μάχεϲθαι.
οἱ δ' ἴϲαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ' ὑπὸ βροντῆϲ πατρὸϲ Διὸϲ εἶϲι πέδον δέ,
θεϲπεϲίῳ δ' ὁμάδῳ ἁλὶ μίϲγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίϲβοιο θαλάϲϲηϲ,
κυρτὰ φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
ὣϲ Τρῶεϲ πρὸ μὲν ἄλλοι ἀρηρότεϲ, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῷ μαρμαίροντεϲ ἅμ' ἡγεμόνεϲϲιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶϲοϲ Ἄρηι,
Πριαμίδηϲ· πρόϲθεν δ' ἔχεν ἀϲπίδα πάντοϲ' ἐίϲην,

---

V. l. 781 οἴῳ DH. — 782 οἴχεϲθ' ἐν S. τετυγμένω Townl. — 783 χεῖρε HL. φόνον: φόβον Mor. — 784 ὅππῃ AE: vulgo ὅππη. D ὅπη. ϲε: ϲου Lips. 1. man. — 785 δὲ μεναῶτεϲ CDHS Lips. Mor. Vrat. d. ἑϲπόμεθ' L. οὐδέ τι φημὶ ACDEG (φυμὶ) HL. — 786 δευήϲεϲθε L. πάρεϲτι ACDEG. — 787 παρ ACD. πτολεμίζειν G. — 788 ὡϲ A. ἀδελφεοῦ H. — 789 βᾶν D. — 791 πολυφήτην ACDH Cant. Vrat. b. d. Townl.
η
Harl. Lips.: πολυφοίτην GS. πολυφοίτην L. — 792 πάλμύν τ' A. πάλμων τ' D ex corr. μύρον θ' L. υἷε G Flor. Rom. υἱὸν S. addit Strabo XII, 565 Μυϲῶν ἀγχεμάχων ἡγήτορα _◡◡_ _. — 793 ἤλυθον L. — 795 οἳ δ' D. οἵδ' CHL. — 796 ἢ ῥά C. ὑπο A. διὸϲ om. L. πέδον δὲ A. πέδοντε L. πεδίονδε Lips. — 797 ἔνθα τε πολλὰ Mor. Barocc. — 798 παμφλάζοντα L. — 799 φαληρώωντα L. φαλακρυόωντα Bekk. An. 865, 32. προ CD. — 800 ὡϲ A. τρῷεϲ L. προ CH. — 803 πρόϲθεν ADHLS Syr. Cant. Barocc. Mor. Harl Vrat. b. d. A. πρὸ ἕθεν CG. πάντοϲε, ἶϲην A. πάντοϲε ἴϲην DGL Lips. ΠΑΝΤΟϹ' ЄΊϹΗΝ Syr.

---

A. c. 785 δ' ἐμμεμαῶτεϲ: οὕτωϲ ἀρίϲταρχοϲ. ἄλλοι δὲ μεμαῶτεϲ Didymus. — 797 οὕτω μετὰ τοῦ δὲ ϲυνδέϲμου θεϲπεϲίῳ δ' ὁμάδῳ Didymus. — 803 πρὸ ἕθεν Schol. A (Herodianus?).

ῥινοῖϲιν πυκινήν, πολλὸϲ δ' ἐπελήλατο χαλκόϲ·
ἀμφὶ δέ οἱ κροτάφοιϲι φαεινὴ ϲείετο πήληξ.
πάντῃ δ' ἀμφὶ φάλαγγαϲ ἐπειρᾶτο προποδίζων,
εἴ πωϲ οἱ εἴξειαν ὑπαϲπίδια προβιβῶντι·
ἀλλ' οὐ ϲύγχει θυμὸν ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
Αἴαϲ δὲ πρῶτοϲ προκαλέϲϲατο μακρὰ βιβάϲθων·
δαιμόνιε, ϲχεδὸν ἐλθέ· τί ἦ δειδίϲϲεαι αὔτωϲ
Ἀργείουϲ; οὔ τοί τι μάχηϲ ἀδαήμονέϲ εἰμεν,
ἀλλὰ Διὸϲ μάϲτιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸϲ ἐέλπεται ἐξαλαπάξειν
νῆαϲ· ἄφαρ δέ τε χεῖρεϲ ἀμύνειν εἰϲὶ καὶ ἡμῖν.
ἦ κε πολὺ φθαίη ἐὺ ναιομένη πόλιϲ ὑμὴ
χερϲὶν ὑφ' ὑμετέρῃϲιν ἁλοῦϲά τε περθομένη τε.
ϲοὶ δ' αὐτῷ φημι ϲχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήϲῃ Διὶ πατρὶ καὶ ἄλλοιϲ ἀθανάτοιϲι
θάϲϲοναϲ ἰρήκων ἔμεναι καλλίτριχαϲ ἵππουϲ,
οἵ ϲε πόλιν δ' οἴϲουϲι κονίοντεϲ πεδίοιο.
ὣϲ ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸϲ ὄρνιϲ,
αἰετὸϲ ὑψιπέτηϲ· ἐπὶ δ' ἴαχε λαὸϲ Ἀχαιῶν
θάρϲυνοϲ οἰωνῷ· ὁ δ' ἀμείβετο φαίδιμοϲ Ἕκτωρ·

---

V. l. 804 ῥινοῖϲι D. Lips. Vrat. A. — 805 ἀμφι D. — 806 πάντη AEG: ceteri πάντῃ cum. Syr. ἀμφι L. — 807 * εἴ πωϲ οἶ: εἴ, πώϲ, οἱ A. εἴ πωϲ οἷ D. εἴ πωϲ οἱ CG. vulgo εἴ πώϲ οἱ cum E. ΕΙΠΩϹΟΙ (ἔν above) Syr. ὑπ' ἀϲπίδια ADHS Vrat. d. ὑπάϲπίδια G. ὑπ' ἀϲπίδι L. ὑπαϲπίδια CE. ὑπ' ἀϲπίδα Vrat. b. προβιβῶντι ACDEGHLS Syr. — 808 ἐνι A. — 809 βιβάϲκων L. ΠΡΟΚΑΛΕϹϹΑΤΟ ΦΩΝΗϹΕΝΤΕ Syr. — 810 τί ἦ AC. τιὴ E. vulgo τίη. αὔτωϲ: αὔτωϲ A. αὔτωϲ E. οὕτωϲ CGHS Syr. — 811 οὔ τοί τι EG. τι om. C. ἀδαήμονεϲ εἰμὲν L. ἐϲμὲν C. — 813 που CG. ἐέλδεται S. ἐξαλαπάξαι H Vrat. d. — 814 δέ τοι C. ΆΦΑΡΔΈΟΙ (T above) Syr. ἀμύνειν omnes. — 815 ἦ καὶ HL. εὖ ναιομένη ACHLS. εὖ νεομένη G. vulgo εὐναιομένη. ὑμὴ: ὑμῖν L. ὔμμιν Mor. Barocc. Flor. — 816 ἡμετέροιϲιν Lips. ὑμετέρῃϲιν G. — 817 φημι CL: ceteri φημὶ. — 818 ἀθανάτοιϲι ACDGH. — 819 ἱρήκων CDG Vrat. A. Flor. Et. Mg. 443, 13. Et. Gud. 255, 55. ἰρήκων A. ἔμμεναι C Lips. Vrat. A. — 821 ὡϲ A. ἄρά οἱ G. οἱ omitt. HL. — 822 ἐπι ADL. — 823 ὁ δ' D. ὅδ' CL.

---

A. c. 807 εἴ πωϲ οἶ, conf. H. U. 144. — 808 Ζηνόδοτοϲ ὑποτάϲϲει „λίην γάρ ϲφιν πᾶϲιν ἐκέκριτο θάρϲεϊ πολλῷ" Aristonicus. — 809 βιβάϲθων: βιβαϲθῶν Tyrannio. — 810 ἀρίϲταρχοϲ αὔτωϲ ἄλλοι δὲ οὕτωϲ Didymus. — 822 ὑψιπέτηϲ Aristarchus, non ὑψιπετῆϲ cf. H. T. 372.

Αἶαν ἁμαρτοεπές, βουγάιε, ποῖον ἔειπες·
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς πάις αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσης
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

---

## ΙΛΙΑΔΟϹ Ξ.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
φράζεο δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμος Ἑκαμήδη

---

V. l. 824 ἁμαρτοεπὲς C. ποῖον ACDGHS Syr. οἷον EL Barocc. Rom. Et. Mg. 443, 13. ἔειπας CL Rom. — 825 αἲ γὰρ CEH. αἱ A. AI Syr. γε omitt. C Lips. πάϊς ACDE (bis) GHS ΠΆΙϹ Syr. παῖς L. — 826 ἥματα D. τέκε Lips. — 828 ἤδε A. φέροι EL Cant. ἀργείοισι ACD EGH Syr. — 829 τοῖσι: τοῖς γε L (γε 2. man. add.). αἴ κε θελήσης Lips. — 830 ὅτι χρόα H. — 831 τρῴων L. κορέεις ACDEHL: κορέσεις G Cant. pro var. lect. Harl. Vrat. A. — 832 ἐπι A. ἐν ἄλλῳ παρανευσιν (sic) A. — 833 ὡς A. — 834 ἐπι ACDL. — 835 οὐδὲ λάθοντο Townl. ceteri οὐδ' ἐλάθοντο . . . . . ΆΘΟΝΤΟ Syr. — 836 τρῴων L.

---

A. c. 824 Ζηνόδοτος βουγήιε διὰ τοῦ η̄, ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ ᾱ Didymus, conf. Eust. 962, 14. ἄλλοι δὲ βουκάκιε γράφουσιν Eust. 962, 11.

---

V. l. 2 προσηῦδα D. — 3 μαχάων L. μαχάον Lips. Vrat. A. b. — 4 παρα A. νηυσὶ μάχη Cant. — 5 πῖνε H. — 6 εἰσόκε libri. λουτρὰ E.